καὶ ἐξ αὐτοῦ ἐξερχόμεναι ἀκρίδες καὶ αἱ κεφαλές των ὡς πρόσωπα ἀνθρώπων, καὶ ἔχουσαι τρίχας γυναικῶν, καὶ οἱ ὀδόντες αὐτῶν ὡς ὀδόντες λεόντων, καὶ φοροῦσαι στέφανα χρυσᾶ εἰς τας κεφαλάς των καὶ σιδηροπουκάμισα εἰς τὰ κορμιά των, καὶ ἔχουσαι οὐρὰς ὁμοίας σκορπίοις καὶ κέντρα εἰς τὰς οὐράς των καὶ τὰ πτερά τους ὡς ἀσπίδων· καὶ ἀπὸ τὸ ἕνα καὶ ἄλλο μέρος τοῦ πηγαδίου βουνὰ καὶ ἄνθρωποι κρυμμένοι εἰς αὐτά.

§ 53. Κεφάλαιον Θ΄. «Καὶ ὁ ἕκτος ἐσάλπισε, καὶ ἤκουσα φωνὴν μίαν ἐκ τῶν τεσσάρων κεράτων τοῦ θυσιαστηρίου τοῦ χρυσοῦ ἐνώπιον του Θεοῦ, λέγουσαν τῷ ἕκτῳ ἀγγέλῳ, ὃς εἶχε τὴν σάλπιγγα· Λῦσον τοὺς τέσσαρας ἀγγέλους τους δεδεμένους ἐπὶ τῷ ποταμῷ τῷ μεγάλῳ Εὐφράτῃ, καὶ ἐλύθησαν οἱ τέσσαρες ἄγγελοι» (Θ΄. 13-15). — Ἱστορία. Οὐρανος καὶ ἐπάνω αὐτοῦ ὁ Ἄναρχος Πατὴρ λευκοφόρος καθήμενος εἰς θρόνον, καὶ ἔμπροσθεν αὐτοῦ θυσιαστήριον χρυσοῦν καὶ ἐκ δεξιῶν του ἄγγελος σαλπίζων, βλέπων κάτω· καὶ ὑποκάτωθεν αὐτοῦ βουνὰ καὶ τέσσαρες ἄγγελοι κατακόπτοντες ἀνθρώπους· καὶ μέσον τῶν ἀγγέλων πλῆθος στρατιωτῶν, φοροῦντες σιδηροπουκάμισα πύρινα καὶ πορφυρογάλαζα καὶ περικεφαλαίας σιδηρᾶς με σιργούτζια, καθήμενοι εἰς ἄλογα ἔχοντα κεφαλὰς λεόντων καὶ οὐρὰς ὄφεων, ἐχούσας κεφαλάς, καὶ ἀπὸ τὸ στόμα των ἐβγόμενον πῦρ, καπνός· καὶ ὑποκάτωθεν τῶν ποδῶν τους καὶ ἔμπροσθέν τους πλῆθος ἀνθρώπων θανατωμένων καὶ ἄλλων φευγόντων καὶ βλέπουσιν ὄπισθέν τους μετὰ φόβου.

§ 54. Κεφάλαιον Ι΄. «Καὶ εἶδον ἄλλον ἄγγελον ἰσχυρὸν καταβαίνοντα ἐκ τοῦ οὐρανοῦ, περιβεβλημένον νεφέλην, καὶ ἶρις ἐπὶ τῆς κεφαλῆς αὐτοῦ καὶ το πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος, καὶ οἱ πόδες αὐτου ως στῦλοι πυρός· και εἶχεν ἐν τῇ χειρὶ αὐτοῦ βιβλιαρίδιον ἀνεῳγμένον· καὶ ἔθηκε τὸν πόδα αὐτοῦ τὸν δεξιὸν ἐπι τὴν θάλασσαν, τον δε εὐώνυμον ἐπι τὴν γῆν - - - καὶ ἀπῆλθεν πρὸς τὸν ἄγγελον λέγων αὐτῷ· Δός μοι το βιβλιαρίδιον. - - καὶ ἔλαβον αὐτὸ ἐκ τῆς χειρὸς αὐτοῦ καὶ κατέφαγον αὐτὸ» (Ι΄. 1-10). — Ἱστορία. Οὐρανὸς καὶ ὑποκάτωθεν αὐτοῦ θάλασσα καὶ γῆ καὶ εἷς ἄγγελος ἐνδυμένος νέφαλον· τὸ πρόσωπόν του λαμπρὸν ὡς ἥλιος, ἐβγάνον ἀκτῖνας, καὶ οἱ πόδες του πύρινοι, μὲ τὸν δεξιὸν πόδα πατῶν εἰς τὴν θάλασσαν καὶ μὲ τὸν ἀριστερον εἰς τὴν γῆν, καὶ βαστῶν μὲ τὸ ἕνα χέρι βιβλιαρίδιον καὶ το ἄλλο

ἁπλώνων εἰς τὸν οὐρανόν· καὶ ὁ Ἰωάννης πλησίον του γονατιστὸς παίρνει τὸ βιβλιαρίδιον ἐκ τῆς χειρός του.

§ 55. Κεφάλαιον ια΄. «Καὶ ἐδόθη μοι κάλαμος ὅμοιος ῥάβδῳ - - λέγων· Μέτρησον τὸν ναὸν τοῦ Θεοῦ καὶ τὸ θυσιαστήριον καὶ τοὺς προσκυνοῦντας ἐν αὐτῷ· καὶ τὴν αὐλὴν τὴν ἔσωθεν τοῦ ναοῦ ἔκβαλε ἔξω, καὶ μὴ αὐτὴν μετρήσῃς, ὅτι ἐδόθη τοῖς ἔθνεσι· καὶ τὴν πόλιν τὴν ἁγίαν πατήσουσι μῆνας τεσσαράκοντα δύο» (ια΄, 1—2). — Ἱστορία. Ναὸς καὶ ἐν αὐτῷ θυσιαστήριον, καὶ ὁ Ἰωάννης μετρῶν αὐτὸν μὲ κάλαμον, καὶ ὑποκάτωθεν αὐτοῦ θηρίον ἱστάμενον, φορῶν διάδημα εἰς τὸ κεφάλι του, ἔχον καὶ πτερά· καὶ ὁ Ἐνὼχ καὶ ὁ Ἠλίας ἀνερχόμενοι εἰς τὸν οὐρανὸν μετὰ νεφελῶν· καὶ πλησίον τοῦ ναοῦ σπίτια καὶ μερικὰ ἀπ' αὐτὰ χκρεμνισμένα, καὶ ἄνθρωποι θανατωμένοι εἰς αὐτὰ καὶ ἄλλοι ἔχοντες τὰς χεῖρας καὶ ὄμματα ὑψωμένα εἰς τὸν οὐρανόν.

§ 56. Κεφάλαιον ια΄. «Καὶ ὁ ἕβδομος ἐσάλπισε καὶ ἐγένοντο φωναὶ μεγάλαι ἐν τῷ οὐρανῷ λέγουσαι· Ἐγένοντο αἱ βασιλεῖαι τοῦ κόσμου τοῦ Κυρίου ἡμῶν καὶ τοῦ Χριστοῦ αὐτοῦ, καὶ βασιλεύσει εἰς τοὺς αἰῶνας τῶν αἰώνων» (ια΄, 15). — Ἱστορία. Ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καθήμενος ἐπὶ νεφελῶν εἰς θρόνον ὑψηλόν, καὶ κύκλῳ αὐτοῦ τὰ τάγματα τῶν ἀγγέλων καὶ οἱ κδ΄ πρεσβύτεροι γονυκλιτῶς προσκυνοῦντες αὐτόν· καὶ ἐκ δεξιῶν του ναὸς καὶ μέσα εἰς αὐτὸν ἡ κιβωτὸς ὅλη χρυσῆ, καὶ ὑποκάτωθεν αὐτοῦ ἄνθρωποι πολλοὶ καὶ ἀστραπαὶ καὶ χάλαζα μεγάλη πίπτουσα ἀπὸ τὸν οὐρανόν.

§ 57. Κεφάλαιον ιβ΄. «Καὶ σημεῖον μέγα ὤφθη ἐν τῷ οὐρανῷ, γυνὴ περιβεβλημένη τον ἥλιον, καὶ ἡ σελήνη ὑποκάτω τῶν ποδῶν αὐτῆς, καὶ ἐπὶ τῆς κεφαλῆς αὐτῆς στέφανος ἀστέρων δώδεκα» (ιβ΄, 1). — Ἱστορία. Ἡ Παναγία ἐπάνω εἰς νέφαλα μὲ πορφυρὸν φόρεμα καὶ μὲ πτέρυγας ἀγγέλου, καὶ γύρωθεν τοῦ στεφάνου της ἀστέρες δώδεκα, καὶ κύκλοθεν αὐτῆς ἀκτῖνες ἡλίου ἀπὸ κεφαλῆς ἕως τῶν ποδῶν της· καὶ ὑποκάτω τῶν ποδῶν της ἡ σελήνη καὶ ἔμπροσθεν αὐτῆς εἷς δράκων κόκκινος, ἔχων ἑπτὰ κεφαλὰς καὶ φορῶν διαδήματα ἑπτὰ καὶ κέρατα δέκα καὶ ἐβγάνων ἀπὸ τὸ στόμα του νερὸν ὡς ποτάμι, καὶ ἡ γῆ ἀνοίγουσα καταπίνει τὸν ποταμόν· καὶ ὄπισθεν τῆς οὐρᾶς του πλῆθος ἀστέρων, καὶ ἐπάνωθεν τῆς Πα-

ναγίας δύο ἄγγελοι βαστάζοντες μέσα εἰς μανδήλι τὸν Χριστὸν ὡς βρέφος, καὶ γύρωθεν αὐτῶν νέφη πολλά.

§ 58. Κεφάλαιον ιγ'. «Καὶ εἶδον ἐκ τῆς θαλάσσης θηρίον ἀναβαῖνον, - - ὅμοιον παρδάλει καὶ οἱ πόδες αὐτοῦ ὡς ἄρκτου, καὶ τὸ στόμα αὐτοῦ ὡς στόμα λέοντος, ἔχον κεφαλὰς ζ' καὶ κέρατα δέκα, καὶ ἐπὶ τῶν κεράτων αὐτοῦ δέκα διαδήματα· - - - καὶ εἶδον ἄλλο θηρίον ἀναβαῖνον ἐκ τῆς γῆς, καὶ εἶχε κέρατα δύο ὅμοια ἀρνίου καὶ ἐλάλει ὡς δράκων» (ιγ'. 1—11). — Ἱστορία. Γῆ καὶ θάλασσα καὶ ἐκ τῆς θαλάσσης ἐξερχόμενον τὸ ἑπτακέφαλον θηρίον, καὶ ἄνθρωποι μεγιστάνες προσκυνοῦσιν αὐτό· καὶ ἔμπροσθέν του ἄλλο μικρότερον θηρίον εἰς τὴν γῆν, ἔχον δύο κέρατα ἀρνίου· καὶ ἐπάνωθεν αὐτῶν οὐρανὸς καὶ πῦρ καὶ χάλαζα κατερχόμενοι ἐξ αὐτοῦ.

§ 59. Κεφάλαιον ιδ'. «Καὶ εἶδον, καὶ ἰδοὺ ἀρνίον ἑστὸς ἐπὶ τοῦ ὄρους Σιών, καὶ μετ' αὐτοῦ ἑκατὸν τεσσαρακοντατέσσαρες χιλιάδες, ἔχουσαι το ὄνομα τοῦ πατρὸς αὐτοῦ γεγραμμένον ἐπὶ τῶν μετώπων αὐτῶν. - - - Οὗτοί εἰσιν οἳ μετὰ γυναικῶν οὐκ ἐμολύνθησαν· παρθένοι γάρ εἰσιν. Οὗτοι οἱ ἀκολουθοῦντες τῷ ἀρνίῳ ὅπου ἂν ὑπάγῃ» (ιδ'. 1—10). — Ἱστορία. Ὄρος ὑψηλὸν καὶ ἐπάνω αὐτοῦ ἀρνίον ἱστάμενον, φορῶν στέφανον καὶ βαστῶν σκῆπτρον, ἤτοι φλάμπουρον κόκκινον εἰς τὸν πόδα του, ἔχον σταυρὸν εἰς τὴν κορυφὴν τὸ φλάμπουρον· καὶ εἰς τὰ τέσσαρα μέρη τοῦ θρόνου οἱ τετράμορφοι εὐαγγελισταὶ καὶ οἱ εἰκοσιτέσσαρες πρεσβύτεροι ἔνθεν καὶ ἔνθεν, καὶ πλῆθος ἀγγέλων βαστάζοντες κιθάρας· καὶ πλησίον παρθένοι πολλοὶ λευκοφόροι ἔχοντες τὰς χεῖρας καὶ ὄμματα ἀπλωμένα εἰς το ἀρνίον· κάτωθεν δὲ αὐτῶν νεφέλαι καὶ ἐπ' αὐτὰς τρεῖς ἄγγελοι βλέποντες κάτω· ὁ εἷς βαστῶν Εὐαγγέλιον ἀνοικτὸν λέγει· «Φοβήθητε τὸν θεὸν καὶ δότε αὐτῷ δόξαν, ὅτι ἦλθεν ἡ ὥρα τῆς κρίσεως αὐτοῦ»· καὶ ὁ ἄλλος ἐκ δεξιῶν του μὲ τὸ ἕνα χέρι δεικνύει κάτω καὶ μὲ τὸ ἄλλο ἕνα χέρι βαστᾷ χαρτὶ λέγον· «Ἔπεσεν, ἔπεσε Βαβυλὼν ἡ πόλις ἡ μεγάλη»· καὶ ὁ ἕτερος ἄγγελος ἐξ ἀριστερῶν αὐτοῦ ἔχων το ἕνα χέρι ἀπλωμένον μὲ τὸ ἄλλο βαστᾷ χαρτὶ λέγον· «Εἴ τις τῷ θηρίῳ προσκυνεῖ καὶ λαμβάνει τὸ χάραγμα ἐπὶ τοῦ μετώπου αὐτοῦ ἢ ἐπὶ τὴν χεῖρα αὐτοῦ, καὶ αὐτὸς πίεται ἐκ τοῦ οἴνου τοῦ θυμοῦ τοῦ Θεοῦ». Κάτωθεν δὲ αὐτῶν ἡ πόλις Βαβυλὼν χαλασμένη.

§ 60. Κεφάλαιον ιδ'. «Καὶ εἶδον, καὶ ἰδοὺ νεφέλη λευκή, καὶ ἐπὶ τὴν νεφέλην καθήμενος ὅμοιος υἱῷ ἀνθρώπου, ἔχων ἐπὶ τῆς κεφαλῆς αὐτοῦ στέφανον χρυσοῦν, καὶ ἐν τῇ χειρὶ αὐτοῦ δρέπανον ὀξύ» (ιδ', 14-20).— Ἱστορία. Νέφαλα καὶ ἐπάνω αὐτῶν ὁ Χριστός, φορῶν κορώνα καὶ βαστῶν εἰς τὸ χέρι του δρεπάνι κοπτερὸν καὶ μεγάλον, καὶ βάλλων αὐτὸ εἰς τὴν γῆν καὶ θερίζων· καὶ ἄλλος ἄγγελος πάλιν, βαστῶν καὶ αὐτὸς δρεπάνι, κόπτει σταφύλια καὶ τὰ ρίχνει μέσα εἰς τὸ πατητήρι, καὶ ἀπὸ τὸ πατητήρι ἐβγαίνει αἷμα ἀντὶ οἴνου. Καὶ ἐπάνωθεν αὐτῶν οὐρανὸς καὶ ἐπάνω τοῦ οὐρανοῦ ναος καὶ ἐν αὐτῷ θυσιαστήριον, καὶ ἐκ τῆς θύρας τοῦ ναοῦ ἐξέρχεται εἷς ἄγγελος καὶ βλέπων τὸν Χριστὸν ἔχει τὸ ἕνα χέρι ἁπλωμένο εἰς αὐτὸν καὶ μὲ τὸ ἄλλο βαστᾷ χαρτὶ λέγον· «Πέμψον το δρέπανόν καὶ θέρισον, ὅτι ἦλθέ σοι ἡ ὥρα θερίσαι». Καὶ ἄλλος ἄγγελος πάλιν ἐξέρχεται τοῦ θυσιαστηρίου καὶ βλέπων τὸν ἄγγελον, ὁποὺ τρυγᾷ τὰ σταφύλια, καὶ μὲ τὸ ἕνα χέρι δεικνύων αὐτὰ μὲ τὸ ἄλλο βαστᾷ χαρτὶ λέγον· «Πέμψον σου τὸ δρέπανον το ὀξὺ καὶ τρύγησον τοὺς βότρυας τῆς γῆς».

§ 61. Κεφάλαιον ιε'. «Καὶ εἶδον ἄλλο σημεῖον εν τῷ οὐρανῷ μέγα και θαυμαστόν, ἀγγέλους ζ' ἔχοντας πληγὰς ζ' τας ἐσχάτας, ὅτι ἐν αὐταῖς ετελέσθη ο θυμὸς τοῦ Θεοῦ» (ιε', 1). — Ἱστορία. Βουνά καὶ ἄνθρωποι πολλοί, ἄλλοι κείμενοι εἰς τὴν γῆν, ἄλλοι λιποθυμισμένοι και πληγωμένοι βλέποντες ἄνω· και ἐν μέσῳ αὐτῶν ὁ Ἀντίχριστος, καθήμενος εἰς θρόνον, καὶ εν θηρίον, ἔχον πτερα καὶ φορῶν κορώνα, καὶ ὁ ἑπτακέφαλος δράκων· καὶ ἐκ τοῦ στόματος αὐτῶν ἐβγαίνουν τρία πνεύματα ἀκάθαρτα, ὅμοια βατράχοις· και κάστρον χαλασμένον πλησίον, καὶ ἡ θάλασσα καὶ οἱ ποταμοὶ ὡς αἷμα καὶ ὁ Εὐφράτης ποταμός, μεγάλος, ξηραμμένος· και ἄνωθεν αὐτῶν οὐρανὸς καὶ ὁ ἥλιος, ἔχων μεγάλας ἀκτῖνας ἁπλωμένας εἰς τοὺς ἀνθρώπους, και χάλαζα κατερχομένη ἐκ τοῦ οὐρανοῦ· καὶ ἐπάνωθεν τοῦ οὐρανοῦ ἡ σκηνὴ τοῦ μαρτυρίου καὶ ἐξ αὐτῆς ἐξέρχονται ἑπτὰ ἄγγελοι λευκοφόροι, φοροῦντες καὶ ζώνας χρυσᾶς· καὶ ὁ μὲν πρῶτος ἄγγελος χύνει τὴν φιάλην αὐτοῦ εἰς την γῆν, εἰς τοὺς ἀνθρώπους, ὁ δεύτερος χύνει τὴν φιάλην του εἰς τὴν θάλασσαν, ὁ τρίτος εἰς τοὺς ποταμούς, ὁ τέταρτος εἰς τὸν ἥλιον, ὁ πέμπτος εἰς τὸν θρόνον τοῦ Ἀντιχρίστου, ὁ ἕκτος εἰς τὸν ποταμον τὸν Εὐφράτην, ὁ ἕβδομος εἰς τὸν ἀέρα.

§ 62. Κεφάλαιον ιζ'. «Καὶ εἶδον γυναῖκα καθημένην ἐπὶ θηρίον κόκκινον, γέμον ὀνομάτων βλασφημίας, ἔχον κεφαλὰς ἑπτὰ καὶ κέρατα δέκα· καὶ ἡ γυνὴ ἡ περιβεβλημένη πορφύρᾳ καὶ κοκκίνῳ, καὶ κεχρυσωμένη καὶ λίθῳ τιμίῳ καὶ μαργαρίταις, ἔχουσα χρυσοῦν ποτήριον ἐν τῇ χειρὶ αὐτῆς, γέμον βδελυγμάτων καὶ ἀκαθαρτότητος πορνείας αὐτῆς» (ιζ', 3—5). — Ἱστορία. Ἑπτὰ κορυφαὶ βουνῶν καὶ ἐπ' αὐτὰς θηρίον ἑπτακέφαλον, ἔχον κέρατα δέκα· καὶ ἐπάνω αὐτοῦ γυνὴ καθημένη, φοροῦσα κορώνα τρίδιπλην καὶ χρυσοῦφαντα ἱμάτια καὶ κρατοῦσα εἰς τὴν δεξιάν της ποτήρι χρυσόν, ἁπλώνων αὐτὸ πρὸς τοὺς βασιλεῖς· καὶ δέκα βασιλεῖς ἔμπροσθεν τοῦ θηρίου βλέποντες πρὸς αὐτήν, καὶ ὄπισθεν τοῦ θηρίου οἱ ἄρχοντες καὶ μεγιστᾶνες τῆς γῆς καὶ πλῆθος πολὺ τῶν ἀνθρώπων, καὶ ἐπάνωθεν τῆς γυναικὸς τὰ γράμματα· «Ἡ Βαβυλὼν ἡ μεγάλη, ἡ μήτηρ τῶν πορνῶν καὶ τῶν βδελυγμάτων τῆς γῆς».

§ 63. Κεφάλαιον ιη'. «Καὶ μετὰ ταῦτα εἶδον ἄλλον ἄγγελον καταβαίνοντα ἐκ τοῦ οὐρανοῦ, ἔχοντα ἐξουσίαν μεγάλην· καὶ ἡ γῆ ἐφωτίσθη ἐκ τῆς δόξης αὐτοῦ· καὶ ἔκραξεν ἐν ἰσχύϊ, φωνῇ μεγάλῃ λέγων· Ἔπεσεν, ἔπεσε Βαβυλὼν ἡ πόλις ἡ μεγάλη, καὶ ἐγένετο κατοικητήριον δαιμόνων καὶ φυλακὴ παντὸς πνεύματος ἀκαθάρτου. Καὶ ἤκουσα ἄλλην φωνὴν ἐκ τοῦ οὐρανοῦ λέγουσαν· Ἐξέλθετε ἐξ αὐτῆς, ὁ λαός μου, ἵνα μὴ συγκοινωνήσητε ταῖς ἁμαρτίαις» (ιη', 1 κέ). — Ἱστορία. Γῆ καὶ ὄρη καὶ θάλασσα καὶ πόλις καιόμενα ὑπὸ πυρός, καὶ φλὸξ ἀναβαίνουσα εἰς τὸν ἀέρα· καὶ μακρόθεν ἵστανται βασιλεῖς καὶ μεγιστᾶνες καὶ πραγματευταί, βλέποντες τὴν πόλιν καὶ θρηνοῦντες· ἄλλοι τραβίζοντες τὰς τρίχας τῆς κεφαλῆς των, ἄλλοι κρούοντες τὰ στήθη τους, ἄλλοι ἔχουν χεῖρας καὶ ὄμματα ἐκτεταμένα ἄνω, καὶ ἕτεροι ἄνθρωποι πολλοί· καὶ ἐπάνωθεν αὐτῶν οὐρανὸς καὶ ἐξ αὐτοῦ εἷς ἄγγελος καταβαίνων μὲ ἄπειρον φῶς κύκλῳ αὐτοῦ, μὲ τὴν δεξιὰν δεικνύων τὴν πόλιν, μὲ τὴν ἀριστερὰν βαστᾷ χαρτὶ λέγον· «Ἔπεσεν, ἔπεσε Βαβυλὼν ἡ μεγάλη». Καὶ ἕτερος ἄγγελος πλησίον αὐτοῦ ἐπὶ νεφελῶν ῥίπτει εἰς τὴν θάλασσαν λίθον ὡς μύλον μέγαν καὶ βαστάζει χαρτὶ λέγον· «Οὕτως ὁρμήματι βληθήσεται Βαβυλὼν ἡ μεγάλη πόλις, καὶ οὐ μὴ εὑρεθῇ ἔτι». Καὶ ὑποκάτω τῶν ἀγγέλων ἄλλα νέφη σκοτεινὰ ῥίπτοντα χάλαζαν μὲ φωτίαν εἰς τὴν θάλασσαν καὶ εἰς τὴν γῆν· καὶ ἐπάνωθεν τοῦ οὐρανοῦ ὁ Ἀναρ-

χος Πατὴρ καθήμενος εἰς θρόνον, καὶ πλησίον τοῦ θρόνου δύο ἄγγελοι βαστάζοντες χαρτία· ὁ εἷς ἐκ τῶν δεξιῶν λέγει· «Αἰνεῖτε τὸν Θεὸν ἡμῶν πάντες οἱ δοῦλοι αὐτοῦ». Καὶ ὁ ἕτερος ἐξ ἀριστερῶν λέγει· «Καὶ οἱ φοβούμενοι αὐτὸν μικροί τε καὶ μεγάλοι». Καὶ κύκλῳ τοῦ θρόνου οἱ τετράμορφοι εὐαγγελισταὶ καὶ τὰ τάγματα τῶν ἀγγέλων καὶ ἄλλος ὄχλος πολύς, φοροῦντες στολὰς λευκὰς καὶ βαστοῦντες χαρτία λέγοντα· «Ἀλληλούια· ἡ σωτηρία καὶ ἡ δόξα καὶ ἡ τιμὴ καὶ ἡ δύναμις κυρίῳ τῷ Θεῷ ἡμῶν, ὅτι ἔκρινε τὴν πόρνην τὴν μεγάλην καὶ ἐξεδίκησε τὸ αἷμα τῶν δούλων αὐτοῦ ἐκ τῆς χειρὸς αὐτῆς· ἀλληλούϊα». Καὶ οἱ κδ' πρεσβύτεροι προσκυνοῦσιν αὐτὸν λέγοντες· «Ἀμήν, ἀλληλούϊα».

§ 64. Κεφάλαιον ιθ'. «Καὶ εἶδον τὸν οὐρανὸν ἀνεῳγμένον, καὶ ἰδοὺ ἵππος λευκός· καὶ ὁ καθήμενος ἐπ' αὐτῷ πιστὸς καὶ ἀληθινός, - - - καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ ὁ λόγος τοῦ Θεοῦ. Καὶ τὰ στρατεύματα ἐν τῷ οὐρανῷ ἠκολούθουν αὐτῷ ἐφ' ἵπποις λευκοῖς, ἐνδεδυμένοι βύσσινον λευκὸν καὶ καθαρόν· καὶ ἐκ τοῦ στόματος αὐτοῦ ἐκπορεύεται ῥομφαία ὀξεῖα, ἵνα ἐν αὐτῇ πατάσσῃ τὰ ἔθνη. - - - Καὶ εἶδον ἄγγελον ἑστῶτα ἐν ἡλίῳ· καὶ ἔκραξε φωνῇ μεγάλῃ λέγων πᾶσι τοῖς ὀρνέοις τοῖς πετωμένοις ἐν μεσουρανίσματι· Δεῦτε καὶ συνάγεσθε εἰς τὸ δεῖπνον τοῦ μεγάλου βασιλέως, ἵνα φάγητε σάρκας βασιλέων καὶ χιλιάρχων καὶ ἰσχυρῶν» (ιθ', 11—18).— Ἱστορία. Οὐρανὸς ἀνεῳγμένος καὶ ἐξ αὐτοῦ ἐξερχόμενος ὁ Χριστὸς ἐπὶ νεφελῶν, καθήμενος ἐφ' ἵππου λευκοῦ καὶ φορῶν ἱμάτιον κόκκινον καὶ κορώνα εἰς τὴν κεφαλήν, καὶ ἀπὸ τὸ στόμα του ἐβγαίνει σπαθὶ κοπτερὸ καὶ μεγάλο, καὶ ἐπάνωθεν αὐτοῦ ταῦτα τὰ γράμματα· «Ἰησοῦς Χριστὸς ὁ Λόγος τοῦ Θεοῦ, Βασιλεὺς Βασιλέων καὶ Κύριος Κυρίων». Καὶ ὄπισθεν αὐτοῦ τὰ στρατεύματα αὐτοῦ ἀκολουθοῦντα, καθήμενα ἐφ' ἵππων λευκῶν καὶ φοροῦντα ἱμάτια λευκὰ καὶ περικεφαλαίας καὶ ζώνας χρυσᾶς, καὶ βαστῶντα σπαθία κοπτερά· καὶ ἔμπροσθεν τους βασιλεῖς καὶ μεγιστᾶνες καὶ στρατιῶται καθήμενοι ἐφ' ἵππων μελανῶν καὶ βαστῶντες σπαθία καὶ ὡς νικημένοι φεύγουν, βλέποντες εἰς τὰ ὀπίσω, καὶ ἄλλοι κείμενοι θανατωμένοι εἰς τὴν γῆν, ἄλλοι γκρεμνιζόμενοι ἀπὸ τὰ ἄλογά τους· καὶ πετεινὰ σαρκοφάγα τρώγοντα τὰς σάρκας των· καὶ ἐπάνωθεν αὐτῶν εἷς ἄγγελος ἱστάμενος ἐπάνω τοῦ ἡλίου καὶ βλέπων τὰ πετεινὰ λέγει εἰς χαρτί· «Δεῦτε συνάγεσθε, ἵνα φάγητε σάρκας

βασιλέων καὶ σάρκας χιλιάρχων καὶ σάρκας ἰσχυρῶν». Καὶ πλησίον τῶν νικημένων ἀνθρώπων ὁ Ἅδης καὶ ὁ Πύρινος Ποταμὸς καὶ δύο ἄγγελοι· κρατοῦντες τὸ θηρίον τὸ ἑπτακέφαλον καὶ τὸν Ἀντίχριστον ῥίπτουσιν αὐτοὺς ἔσω εἰς τὸν Πύρινον Ποταμόν.

§ 65. Κεφάλαιον κ'. «Καὶ εἶδον ἄγγελον καταβαίνοντα ἐκ τοῦ οὐρανοῦ, ἔχοντα τὴν κλεῖδα τῆς ἀβύσσου, καὶ ἅλυσιν μεγάλην» κτλ. (κ', 1 κέ) — Ἱστορία. Οὐρανὸς καὶ ἐξ αὐτοῦ κατέρχεται ἄγγελος βαστῶν μὲ τὸ ἕνα χέρι κλειδίον καὶ μὲ τὸ ἄλλο ἔχει δεμένον τὸν διάβολον μὲ ἁλυσίδα καὶ βάλλει αὐτὸν μέσα εἰς τὸν παμφάγον Ἅδην.

§ 66. Κεφάλαιον κ'. «Καὶ εἶδον θρόνον λευκὸν μέγαν καὶ τὸν καθήμενον ἐπ' αὐτοῦ, οὗ ἀπὸ προσώπου ἔφυγεν ἡ γῆ καὶ ὁ οὐρανός, καὶ τόπος οὐχ εὑρέθη αὐτοῖς· καὶ εἶδον τοὺς νεκρούς, μικροὺς καὶ μεγάλους, ἑστῶτας ἐνώπιον τοῦ Θεοῦ, καὶ βιβλία ἠνεώχθησαν» (κ', 11, 12). — Ἱστορία. Ὁ Χριστὸς καθήμενος ἐπὶ θρόνου λευκοῦ καὶ γύρωθεν αὐτοῦ τὰ τάγματα τῶν ἀγγέλων καὶ τὰ λοιπὰ τῆς Δευτέρας Παρουσίας. Ἴδε § 68.

§ 67. Κεφάλαιον κα'. «Καὶ ἐγὼ ὁ Ἰωάννης εἶδον τὴν πόλιν τὴν ἁγίαν Ἱερουσαλὴμ καινήν, καταβαίνουσαν ἀπὸ τοῦ Θεοῦ ἐκ τοῦ οὐρανοῦ, ἡτοιμασμένην ὡς νύμφην κεκοσμημένην τῷ ἀνδρὶ αὐτῆς· καὶ ἤκουσα φωνῆς μεγάλης ἐκ τοῦ οὐρανοῦ λεγούσης· Ἰδοὺ ἡ σκηνὴ τοῦ Θεοῦ» (κα', 2, 3) Ἱστορία. Κάστρον τῆς Ἱερουσαλὴμ ὡραϊσμένον μὲ πολύτιμα λιθάρια καὶ περιχρυσωμένον, τετράγωνον, ἔχον πύλας δώδεκα, ἀπὸ ἀνατολῆς πύλας τρεῖς, ἀπὸ βορρᾶ πύλας τρεῖς, ἀπὸ μεσημβρίας πύλας τρεῖς καὶ ἀπὸ δυσμῶν πύλας τρεῖς· καὶ εἰς κάθε πύλην ἱστάμενος εἷς ἄγγελος, βαστῶν εἰς τὴν δεξιὰν ῥάβδον χρυσῆν καὶ εἰς τὴν ἀριστερὰν σφραγῖδα Θεοῦ ζῶντος ⊗. Καὶ ὁ ἅγιος Ἰωάννης ἱστάμενος εἰς ὄρος ὑψηλὸν βλέπει αὐτήν, καὶ ἐπάνωθεν αὐτῆς οὐρανὸς ἀνεῳγμένος καὶ ὁ Χριστὸς καθήμενος ἐπὶ θρόνου, ἀπὸ τὸν ὁποῖον ἐξέρχεται ἄπειρον φῶς καὶ κατεβαίνει εἰς τὸ κάστρον· καὶ κύκλῳ τοῦ Χριστοῦ ὅλα τὰ τάγματα τῶν ἀγγέλων καὶ τῶν ἁγίων καὶ οἱ κδ' πρεσβύτεροι· καὶ εἷς ἄγγελος ἐκ τοῦ οὐρανοῦ βλέπων πρὸς τὸν Ἰωάννην δεικνύει αὐτῷ τὸ κάστρον λέγων εἰς χαρτί· «Ἰδοὺ ἡ σκηνὴ τοῦ θεοῦ»· καὶ ἕτερος ἄγγελος βαστῶν κάλαμον χρυσὸν μετρᾷ τὴν ἁγίαν πόλιν Ἱερουσαλήμ.

ε') ΥΠΟΘΕΣΕΙΣ ΕΚ ΤΩΝ ΠΡΟΦΗΤΩΝ ΚΑΙ ΤΟΥ ΕΥΑΓΓΕΛΙΟΥ.

Πῶς ἱστορίζεται ἡ δευτέρα παρουσία τοῦ Χριστοῦ.

§ 68. Ὁ Χριστὸς καθήμενος ἐπὶ τῶν πυριμόρφων καὶ χερουβικῶν θρόνων λευκοφόρος καὶ ἐξαστράπτων πολλά, ἐν μέσῳ τοῦ ἡλίου τε καὶ τῆς σελήνης καὶ τῶν ἀστέρων προπορευομένου τοῦ σημείου αὐτοῦ, ἤτοι ὁ σταυρὸς ἔμπροσθεν αὐτοῦ, φέρων τε ὡς βασίλισσαν ἐκ δεξιῶν αὐτοῦ καὶ τὴν τεκοῦσαν αὐτὸν ἀειπάρθενον Θεοτόκον· καὶ μετὰ ψαλμῶν καὶ ὕμνων καὶ ὀργάνων πνευματικῶν πολλῶν καὶ δόξης μεγίστης ὑπὸ πασῶν τῶν ἀρχαγγελικῶν καὶ ἀγγελικῶν ἐπουρανίων στρατευμάτων ἔρχεται ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ, εὐλογῶν ταῖς ἀχράντοις χερσὶν αὐτοῦ, φέρων τε καὶ Εὐαγγέλιον ἀνοικτὸν ἐπὶ τοῦ στήθους αὐτοῦ, λέγον· «Δεῦτε, οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν» (Ματθ. κε', 34), καὶ τὸ «Πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον» (Ματθ. κε', 41). Καὶ ἐπάνωθεν αὐτοῦ αὕτη ἡ ἐπιγραφή· «Ἰησοῦς Χριστός, ἡ δόξα καὶ ἡ χαρὰ τῶν ἁγίων». Καὶ οἱ ἅγιοι πάντες προϋπαντοῦσιν αὐτὸν κατὰ τάξιν, τῇ θείᾳ αὐτοῦ δυνάμει ἀνερχόμενοι ἐκ τῆς γῆς εἰς τὸν οὐρανὸν ἅπαντες ἐπὶ νεφελῶν οὕτως· α') ὁ χορὸς τῶν ἀποστόλων, β') ὁ χορὸς τῶν προπατόρων, γ') ὁ χορὸς τῶν πατριαρχῶν, δ') ὁ χορὸς τῶν προφητῶν, ε') ὁ χορὸς τῶν ἱεραρχῶν, ϛ') ὁ χορὸς τῶν μαρτύρων, ζ') ὁ χορὸς τῶν ὁσίων, η') ὁ χορὸς τῶν εὐσεβῶν βασιλέων, θ') ὁ χορὸς τῶν μαρτύρων καὶ ὁσίων γυναικῶν, φέροντες ἕκαστος ὡς κλάδους ἐν χερσὶ τὰς ἀρετὰς αὐτῶν. Καὶ ὑποκάτωθεν αὐτῶν ὁ ἄγγελος ἐν τῷ ἀέρι ἱπτάμενος καὶ σαλπίζων τῇ ἐσχάτῃ σάλπιγγι· καὶ ἡ γῆ μετὰ τῶν πόλεων καὶ λοιπῶν οἰκημάτων αὐτῆς ὑποκάτωθεν αὐτοῦ· ὁμοίως καὶ ἡ θάλασσα μετὰ τῶν πλοίων καὶ καραβίων αὐτῆς, ἀποδιδόντες εὐθέως τοὺς νεκρούς. Καὶ οἱ νεκροὶ ἐκ τῶν μνημάτων καὶ ὑδάτων ἐξεγειρόμενοι μετὰ θάμβους πολλοῦ, διαφορετικὰ ἕνας ἀπὸ τὸν ἄλλον, ἁρπάζονται ὑπὸ τῶν νεφελῶν ἅπαντες· καὶ οἱ μὲν ἔρχονται πρὸς τὴν ἀπάντησιν αὐτοῦ, οἱ δὲ ἁμαρτωλοὶ ὑπάγουν εἰς τὸν τόπον τῆς καταδίκης. Καὶ μακρόθεν οὗτοι οἱ προφῆται μὲ χαρτία λέγοντες· ὁ Ἡσαΐας· «Κύριος εἰς κρίσιν ἥξει μετὰ τῶν πρεσβυτέρων

τοῦ λαοῦ καὶ μετὰ τῶν ἀρχόντων αὐτοῦ» (γ', 14). — Ὁ Ἰωήλ· «Ἐξεγειρέσθωσαν καὶ ἀναβαινέτωσαν πάντα τὰ ἔθνη εἰς τὴν κοιλάδα Ἰωσαφάτ» (γ', 12).—Ὁ Δανιήλ· «Πολλοὶ τῶν καθευδόντων ἐν γῆς χώματι ἐξεγερθήσονται οὗτοι εἰς ζωὴν αἰώνιον, καὶ οὗτοι εἰς ὀνειδισμὸν καὶ εἰς αἰσχύνην αἰώνιον» (ιβ', 2).

Τὸ παγκόσμιον καὶ ἀδέκαστον κριτήριον τοῦ Χριστοῦ.

§ 69. Ὁ Χριστὸς καθήμενος ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, λευκοφόρος καὶ ἐξαστράπτων ὑπὲρ τὸν ἥλιον, καὶ μετὰ πολλοῦ φόβου καὶ τρόμου ὑπὸ πασῶν τῶν ἀγγελικῶν δυνάμεων δορυφορούμενος, μὲ τὴν δεξιὰν μὲν εὐλογῶν τοὺς ἁγίους, μὲ τὴν ἀριστερὰν δὲ δεικνύων τοὺς τύπους τῶν ἥλων εἰς τοὺς ἁμαρτωλούς. Καὶ φῶς πολὺ κύκλοθεν καὶ αὕτη ἡ ἐπιγραφὴ ἐπάνωθεν αὐτοῦ· «Ἰησοῦς Χριστός, ὁ δίκαιος κριτής». Καὶ ἔνθεν καὶ ἔνθεν ἡ Παναγία καὶ ὁ Πρόδρομος, πρεσβείαν ποιοῦντες, καὶ οἱ δώδεκα ἀπόστολοι καθήμενοι ἐπὶ δώδεκα θρόνους, καὶ μετ' αὐτῶν οἱ ἅγιοι πάντες ἱστάμενοι ἐκ δεξιῶν αὐτοῦ, βαστάζοντες ἅπαντες ὡς κλάδους ἐν χερσὶ τὰς ἀρετὰς αὐτῶν, κατὰ τάξιν ἱστάμενοι οὕτως εἰς στάσεις τρεῖς. Εἰς τὴν πρώτην χορὸς τῶν προπατόρων, πατριαρχῶν, προφητῶν· εἰς τὴν δευτέραν χορὸς τῶν ἱεραρχῶν, μαρτύρων, ἀσκητῶν· εἰς τὴν τρίτην χορὸς τῶν δικαίων βασιλέων, τῶν μαρτύρων καὶ ὁσίων γυναικῶν· ἐξ ἀριστερῶν δὲ ὅλοι ὁμοῦ οἱ ἁμαρτωλοὶ διωκόμενοι ἐξ αὐτοῦ καὶ καταδικαζόμενοι μετὰ τῶν δαιμόνων καὶ τοῦ προδότου Ἰούδα, οἱ τύραννοι βασιλεῖς, οἱ εἰδωλολάτραι, οἱ ἀντίχριστοι, οἱ αἱρετικοί, οἱ φονεῖς, οἱ προδόται, οἱ κλέπται, οἱ ἅρπαγες, οἱ ἀνελεήμονες, οἱ πλεονέκται, οἱ φιλάργυροι, οἱ ψεῦσται, οἱ γόητες, οἱ μέθυσοι, οἱ πόρνοι, οἱ ἀσελγεῖς καὶ ὅλοι οἱ μιαροὶ καὶ ἀκάθαρτοι, καὶ πρὸ πάντων οἱ ἀσεβεῖς καὶ ἀγνώμονες Γραμματεῖς καὶ Φαρισαῖοι καὶ λοιποὶ Ἰουδαῖοι, οἵτινες καὶ μεγάλως ὀλολύζοντες ἄλλοι τραβοῦν τὰς γενειάδας των, ἄλλοι τὰ ἱμάτια αὐτῶν, βλέποντες πρὸς τὸν Χριστὸν καὶ ὅλους τοὺς ἁγίους καὶ τὸν προφήτην Μωϋσῆν, δεικνύοντα αὐτοῖς δακτυλοειδῶς τὸν Χριστὸν καὶ λέγοντα πρὸς αὐτοὺς διὰ χάρτου· «Προφήτην ἀναστήσει κύριος ὁ Θεὸς ἐκ τῶν ἀδελφῶν ἡμῶν ὡς ἐμὲ· αὐτοῦ ἀκούσεσθε κατὰ πάντα» (Δευτερ. ιη', 15, 16). Καὶ τὸ σημεῖον

τοῦ σταυροῦ ἔμπροσθεν τοῦ θρόνου μὲ τὴν κιβωτὸν τῆς διαθήκης Κυρίου καὶ τὰ μαρτύρια τοῦ νόμου καὶ τῶν προφητῶν, ὁμοῦ καὶ τὸ ἅγιον Εὐαγγέλιον ἀνοικτόν· καὶ μὲ ἄλλα δύο χαρτία, ἕνα ἐπὶ τὰ δεξιὰ λέγον· «Καὶ ἐκρίθησαν οἱ νεκροὶ ἐκ τῶν γεγραμμένων ἐν τοῖς βιβλίοις κατὰ τὰ ἔργα αὐτῶν» (Ἀποκαλ. κ', 12, 13)· καὶ τὸ ἄλλο ἐπὶ τὰ ἀριστερά, λέγον· «Καὶ εἴ τις οὐχ εὑρέθη ἐν τῷ βιβλίῳ τῆς ζωῆς γεγραμμένος, ἐβλήθη εἰς τὴν λίμνην τοῦ πυρός» (Ἀποκαλ. κ', 15). Καὶ τὸν Πύρινον Ποταμὸν ἐξερχόμενον ἐκ τῶν ποδῶν τοῦ Χριστοῦ, καὶ τοὺς πονηροὺς καὶ ἀνελεήμονας δαίμονας, ῥίπτοντας αὐτοὺς ἔσω καὶ δεινῶς βασανίζοντας μὲ διάφορα τυραννικὰ ὄργανα καὶ καμάκια καὶ λόγχες, ἄλλοι ἀμπώχνοντες αὐτοὺς μὲ τὰ κοντάρια μέσ' στὲς φλόγες, καὶ ἄλλοι ὡς φλογεροὶ δράκοντες περιπλεγμένοι εἰς αὐτοὺς τοὺς τραβοῦν καὶ τοὺς κατεβάζουν βιαίως εἰς τὰ καταχθόνια, ὅπου ἐστὶ τὸ σκότος τὸ ἐξώτερον, τα δεσμὰ τὰ ἄλυτα, ὁ βρυγμὸς τῶν ὀδόντων, ὁ σκώληξ ὁ ἀκοίμητος, καὶ τελευταῖον τὸ πῦρ τὸ ἄσβεστον, διὰ νὰ βασανίζωνται καὶ νὰ τιμωροῦνται ἐκεῖ αἰώνια· οἵτινες καὶ φαίνονται ἔσωθεν ἀπὸ τινὰ χάσματα ὅλοι σιδηροδέσμιοι καὶ ζοφεροὶ πολλά, κτυποῦντες τοὺς ὀδόντας ἐλεεινῶς ἀκατάπαυστα, καιόμενοι ἀπὸ τὸ πῦρ καὶ ἀπὸ τοὺς σκώληκας πάντοτε ἐσθιόμενοι, ὁμοῦ μὲ τὸν ἀνελεήμονα πλούσιον βλέποντες μακρόθεν ἐξ ἐναντίας των τοὺς κόλπους τοῦ Ἀβραὰμ καὶ αὐτὸν τὸν Παράδεισον μὲ ὅλους τοὺς ἁγίους, εὐφραινομένους ἔσωθεν, περιτειχισμένον μετὰ κρυστάλλου καὶ χρυσίου καθαροῦ καὶ λίθων πολυτελῶν πάντοθεν καὶ κεκοσμημένον μὲ ὡραιοπλούμιστα δένδρη καὶ ὄρνεα καὶ πουλλία διάφορα· καὶ ἀπὸ τὸ ἕνα καὶ ἄλλο μέρος τοῦ κριτηρίου οὗτοι οἱ προφῆται με χάρτους λέγοντες· Ὁ Δανιήλ· «Ἐθεώρουν, ἕως ὅτου οἱ θρόνοι ἐτέθησαν καὶ ὁ παλαιὸς ἡμερῶν ἐκάθητο» (ζ', 9). Ὁ Μαλαχίας· «Ἰδοὺ ἡμέρα ἔρχεται καιομένη ὡς κλίβανος, καὶ φλέξει πάντας τοὺς ἀλλογενεῖς καὶ πάντας τοὺς ποιοῦντας τὰ ἄνομα» (δ', 1). Ἡ δικαία Ἰουδίθ· «Κύριος παντοκράτωρ ἐκδικήσει αὐτοὺς ἐν ἡμέρᾳ κρίσεως, δοῦναι πῦρ καὶ σκώληκας εἰς σάρκας αὐτῶν» (ιϛ', 17).



ΜΕΡΟΣ ΠΕΜΠΤΟΝ

ΑΓΙΟΓΡΑΦΙΚΗ.

α') ΠΩΣ ΙΣΤΟΡΙΖΟΝΤΑΙ ΑΙ ΘΕΟΜΗΤΟΡΙΚΑΙ ΕΟΡΤΑΙ.

Ἡ σύλληψις τῆς Θεοτόκου.

§ 1. Σπίτια καὶ περιβόλι μὲ διάφορα δένδρα καὶ ἐν μέσῳ ἡ ἁγία Ἄννα προσευχομένη καὶ εἷς ἄγγελος ἐπάνωθεν αὐτῆς εὐλογεῖ αὐτήν· καὶ ἔξω τοῦ περιβολίου βουνὸν καὶ ἐπ' αὐτῷ ὁ Ἰωακεὶμ προσευχόμενος καὶ ἄγγελος ὁμοίως εὐλογεῖ αὐτόν.

Ἡ γέννησις τῆς Θεοτόκου.

§ 2. Σπίτια καὶ ἡ ἁγία Ἄννα κειμένη ἐπὶ κλίνης μέσα εἰς παπλώματα, ἀκουμβίζουσα εἰς προσκεφάλαιον· καὶ δύο κορίτζια ὄπισθεν βαστάζουσιν αὐτήν, καὶ ἔμπροσθέν της ἄλλο κορίτζι ῥιπίζον αὐτὴν μετὰ ῥιπιδίου· καὶ ἄλλα πάλιν κορίτζια ἐβγαίνουν ἀπὸ πύλας, βαστάζοντα φαγητά· καὶ ἄλλα πάλιν ὑποκάτωθεν αὐτῆς καθήμενα πλύνουσι τὸ παιδίον εἰς λεκάνην· καὶ ἄλλο πάλιν κουνεῖ τὸ κλινίδιον, ἐν ᾧ ἐστι τὸ παιδίον.

Ἡ Θεοτόκος εὐλογουμένη ὑπὸ τῶν ἱερέων.

§ 3. Σπίτια καὶ τράπεζα μὲ φαγητά, καὶ ἔμπροσθεν τῆς τραπέζης ὁ Ἰωακεὶμ βαστῶν τὴν Παναγίαν ὡς βρέφος εἰς τὰς ἀγκάλας του· καὶ ἡ ἁγία Ἄννα ὄπισθεν αὐτοῦ καὶ τρεῖς ἱερεῖς καθήμενοι εἰς τὴν τράπεζαν καὶ βλέποντες τὴν Παναγίαν εὐλογοῦσιν αὐτήν.

Τὰ εἰσόδια τῆς Θεοτόκου.

§ 4. Ναὸς καὶ εἰς τὴν ἄκρην πύλη μὲ τρία σκαλούνια, καὶ ὁ προφήτης Ζαχαρίας ἱστάμενος εἰς τὴν πύλην μετὰ ἀρχιερατικῆς στολῆς ἁπλώνει ἔμπροσθεν τὰς χεῖρας· καὶ ἡ Παναγία τριετίζουσα ἔμπροσθεν αὐτοῦ ἀναβαίνει τὰ σκαλούνια, ἔχουσα τὴν μίαν χεῖρα πρὸς αὐτὸν ἁπλωμένην καὶ μὲ τὸ ἄλλο (χέρι) βαστᾷ λαμπάδα· καὶ ὄπισθέν της ὁ Ἰωακεὶμ καὶ ἡ Ἄννα, βλέποντες ἀλλήλους καὶ δεικνύοντες αὐτήν· καὶ πλησίον αὐτῶν πλῆθος λαμπαδηφόρων παρθένων· ἄνωθεν δὲ τοῦ ναοῦ κουβούκλι ὡραῖον, εἰς τὸ ὁποῖον μέσα ἡ Παναγία καθημένη λαμβάνει τὸν ἄρτον, τὸν ὁποῖον φέρνει πρὸς αὐτὴν ὁ ἀρχάγγελος Γαβριήλ, εὐλογῶν αὐτήν.

Ὁ Ἰωσὴφ λαμβάνων τὴν Θεοτόκον ἀπὸ τὰ Ἅγια τῶν Ἁγίων.

§ 5. Ναὸς καὶ ἔσωθεν ὁ προφήτης Ζαχαρίας εὐλογῶν, καὶ ὄπισθέν του ἄλλοι ἱερεῖς δεικνύοντες ἀλλήλοις τὴν Παναγίαν· καὶ ἔμπροσθεν αὐτῶν ὁ Ἰωσὴφ λαμβάνει αὐτὴν ἐκ τῆς χειρός· καὶ ἄλλοι ἄνθρωποι ὄπισθεν αὐτοῦ.

Ἡ κοίμησις τῆς Θεοτόκου.

§ 6. Σπίτια καὶ μέσον ἡ Παναγία κειμένη ἐπὶ κλίνης νεκρά, ἔχουσα ἔμπροσθέν της σταυρωμένα τὰ χέρια, καὶ πλησίον τῆς κλίνης ἔνθεν καὶ ἔνθεν μανουάλια μὲ λαμπάδας ἀναμμένας· καὶ εἷς Ἑβραῖος ἔμπροσθεν τῆς κλίνης, ἔχων κομμένα τὰ χέρια, κρεμασμένα εἰς τὴν κλίνην, καὶ ἔμπροσθεν αὐτοῦ εἷς ἄγγελος μὲ γυμνὸ σπαθί· καὶ εἰς τοὺς πόδας της ὁ ἀπόστολος Πέτρος θυμιῶν μὲ θυμιατόν, καὶ εἰς τὴν κεφαλήν της ὁ ἅγιος Παῦλος καὶ ὁ θεολόγος Ἰωάννης ἀσπαζόμενοι αὐτήν· καὶ γύρωθεν οἱ λοιποὶ ἀπόστολοι καὶ οἱ ἅγιοι ἱεράρχαι, Διονύσιος ὁ Ἀρεοπαγίτης, Ἱερόθεος καὶ Τιμόθεος, βαστάζοντες Εὐαγγέλια, καὶ γυναῖκες κλαίουσαι· καὶ ἐπάνωθεν αὐτῆς ὁ Χριστὸς βαστῶν εἰς τὰς ἀγκάλας του τὴν ἁγίαν αὐτῆς ψυχὴν λευκοφόρον· καὶ γύρωθεν αὐτοῦ φῶς πολὺ καὶ πλῆθος ἀγγέλων, καὶ ἄνωθεν εἰς τὸν ἀέρα πάλιν οἱ δώδεκα ἀπόστολοι ἐρχόμενοι μετὰ νεφελῶν· καὶ εἰς τὴν δεξιὰν ἄκρην τοῦ σπιτιοῦ ὁ Δαμασκηνὸς Ἰωάννης βαστῶν χαρτὶ λέγει· «Ἀξίως ὡς

ἔμψυχον σὲ οὐρανὸν ὑπεδέξαντο οὐράνια, πάναγνε, θεῖα σκηνώματα, καὶ παρέστηκας» κτλ. Καὶ εἰς τὴν ἀριστερὰν ὁ ἅγιος Κοσμᾶς ὁ ποιητὴς βαστῶν χαρτὶ λέγει· «Γυναῖκά σε θνητήν, ἀλλ' ὑπερφυῶς καὶ μητέρα Θεοῦ εἰδότες, πανάμωμε» κτλ.

Ὁ ἐνταφιασμὸς τῆς Θεοτόκου.

§ 7. Μνημεῖον καὶ ἔσω ὁ ἀπόστολος Πέτρος βαστῶν τὴν Παναγίαν ἀπὸ τὸ κεφάλι, καὶ ὁ Παῦλος ἔξωθεν βαστάζων αὐτὴν ἀπὸ τοὺς πόδας καὶ ὁ θεολόγος Ἰωάννης ἀσπαζόμενος αὐτήν· καὶ οἱ ἄλλοι ἀπόστολοι τριγύρου λαμπαδηφόροι κλαίοντες.

Ἡ μετάστασις.

§ 8. Μνημεῖον ἀνεῳγμένον, ἄδειον, καὶ οἱ ἀπόστολοι τριγύρου θαυμάζοντες· καὶ ὁ Θωμᾶς ἐν μέσῳ αὐτῶν βαστῶν ζώνην δεικνύει αὐτὴν πρὸς αὐτούς· καὶ ἐπάνωθεν αὐτῶν εἰς τὸν ἀέρα ἡ Παναγία ἐπὶ νεφελῶν ἀνερχομένη εἰς τὸν οὐρανόν· καὶ ὁ Θωμᾶς πάλιν, καὶ αὐτὸς εἰς νέφαλα πλησίον αὐτῆς λαμβάνει τὴν ζώνην της ἐκ τῶν χειρῶν τής.

Ἡ Ζωοδόχος Πηγή.

§ 9. Κολυμβήθρα ὁλόχρυσος καὶ ἡ Θεοτόκος ἐν τῷ μέσῳ μὲ τὰς χεῖρας ἐκτεταμένας ἄνω καὶ μὲ τὸν Χριστὸν ἔμπροσθέν της εὐλογοῦντα εἰς τὸ ἕνα καὶ ἄλλο μέρος, ἔχοντα ἐπὶ τοῦ στήθους Εὐαγγέλιον λέγον «Ἐγώ εἰμι τὸ ὕδωρ τὸ ζῶν», καὶ μὲ δύο ἀγγέλους βαστάζοντες μὲ τὸ ἕνα χέρι κορώναν ἐπάνωθεν τῆς κεφαλῆς της, καὶ μὲ τὸ ἄλλο χαρτία λέγοντα, τοῦ ἑνὸς «Χαῖρε πηγὴ ἄχραντε καὶ ζωηφόρε», καὶ τοῦ ἄλλου «Χαῖρε κρήνη ἄχραντε καὶ θεοδόχε». Ὑποκάτωθεν δὲ τῆς κολυμβήθρας στέρνα μὲ νερὸν καὶ τρία ψάρια ἔσω, καὶ ἀπὸ τὸ ἕνα καὶ ἄλλο μέρος αὐτῆς πατριάρχαι, ἀρχιερεῖς, ἱερεῖς, διάκονοι καὶ βασιλεῖς καὶ βασίλισσες, ἄρχοντες καὶ ἀρχόντισσες, νιβόμενοι καὶ πίνοντες μὲ μαστραπᾶδες καὶ ποτήρια· καὶ ἄλλοι πολλοὶ ἀσθενεῖς καὶ παράλυτοι χεῖρας καὶ πόδας, ποιοῦντες ὁμοίως· καὶ ἕνας ἱερεὺς μὲ σταυρὸν ἁγιάζων αὐτούς· καὶ ἔμπροσθεν τούτων ἕνας δαιμονισμένος βασταζόμενος, καὶ καραβοκύρης χύνει τὸ νερὸν εἰς τὸν νεκρύγερτον Θετταλόν.

Τὸ «Ἄνωθεν οἱ Προφῆται».

§ 10. Ἡ Παναγία καθημένη ἐπὶ θρόνου, φέρουσα ὡς βρέφος τὸν Χριστόν. καὶ ὑποκάτω τοῦ ὑποποδίου ἡ ἐπιγραφὴ αὕτη· «Ἄνωθεν οἱ προφῆται σὲ προσκυνοῦσιν»· καὶ γύρωθεν οἱ προφῆται οὕτως· ὁ Ἰακὼβ πατριάρχης βαστῶν σκάλαν λέγει εἰς χαρτί· «Ἐγὼ καθ' ὕπνους κλίμακ' ἑώρακά σε | ἀπὸ γῆς φθάνουσαν μέχρι τοῦ θείου πόλου». Ὁ Μωϋσῆς βαστῶν βάτον λέγει εἰς χαρτί· «Ἐγὼ βάτον κέκληκα σέ, κόρη Θεοτόκε· | μυστήριον γὰρ εἶδον ἐν βάτῳ ξένον». Ὁ Ἀαρὼν βαστῶν ῥάβδον ἀνθισμένην λέγει εἰς χαρτί· «Ἐμοὶ δὲ ἀνθίσαι σε τὸν κτίστην ἄνθος | ῥάβδος προκατήγγειλεν, ἁγνὴ παρθένε». Ὁ Γεδεὼν βαστῶν πόκον λέγει εἰς χαρτί· «Πόκον σέ, ἁγνή, πρὶν κέκληκα, παρθένε· | τοῦ γὰρ τόκου σου εἶδον ἐν πόκῳ θαῦμα». Ὁ Δαβὶδ βαστῶν κιβωτὸν λέγει εἰς χαρτί· «Ἐγὼ κιβωτὸν ἡγιασμένην, κόρη, | κέκληκά σε πρίν, ὁ βλέπων ναοῦ χάριν». Ὁ Σολομὼν βαστῶν κλίνην λέγει εἰς χαρτί· «Ἐγὼ δὲ κλίνην τοῦ βασιλέως, κόρη, | κέκληκά σε πρὶν κηρύττων σου τὸ θαῦμα». Ὁ Ἡσαΐας βαστῶν λαβίδα λέγει εἰς χαρτί· «Ἐγὼ δὲ πρώην λαβίδ' ἀνθρακοφόρον | κέκληκά σ', ἁγνή, καὶ θρόνον βασιλέως». Ὁ Ἱερεμίας δεικνύων τὴν Θεοτόκον λέγει· «Ἐγώ σε εἶδον Ἰσραήλ, κόρη, νέον | ζωῆς πρὸς τρίβους ὁδηγοῦσαν, παρθένε». Ὁ Ἰεζεκιὴλ βαστῶν πύλην λέγει εἰς χαρτί· «Πύλην τοῦ Θεοῦ εἶδόν σε κεκλεισμένην, | δι' ἧς διῆλθεν ὁ πάντων Θεὸς μόνος». Ὁ Δανιὴλ βαστῶν ὄρος λέγει εἰς χαρτί· «Ὄρος νοητόν, ἐξ οὗ ἐτμήθη λίθος | κέκληκά σε πρίν, ἁγνὴ παρθενομῆτορ». Ὁ Ἀββακοὺμ βαστῶν ὄρος κατάσκιον λέγει εἰς χαρτί· «Προβλεπτικὸν χάρισμα πνεύματι φέρων | εἶδόν σε δασὺ καὶ κατάσκιον ὄρος». Ὁ Ζαχαρίας βαστῶν ἑπτάφωτον λυχνίαν λέγει εἰς χαρτί· «Ἐγὼ λυχνίαν ἑπτάφωτόν σε εἶδον | φῶς τὸ νοητὸν ἀστράψασαν κόσμῳ».

Τὸ «Ἐπὶ σοὶ χαίρει».

§ 11. Ὁ οὐρανὸς μὲ τὸν ἥλιον καὶ τὴν σελήνην καὶ ἐπ' αὐτοῦ ἡ Παναγία καθημένη ἐπὶ θρόνου μὲ τὸν Χριστὸν ὡς βρέφος, καὶ γύρωθεν αὐτῆς ἡ ἐπιγραφή· «Ἐπὶ σοὶ χαίρει, κεχαριτωμένη, πᾶσα ἡ κτίσις, ἀγγέλων τὸ σύστημα καὶ ἀνθρώπων τὸ

γένος». Καὶ ἐπάνωθεν, εἰς τὸ δεξιὸν καὶ ἀριστερὸν αὐτῆς μέρος, πλῆθος ἁγίων ἀγγέλων, βαστάζοντες οἱ τέσσαρες ἐξ αὐτῶν χαρτία. Ὁ πρῶτος λέγει· «Χαῖρε, δόξα τῶν ἀγγέλων· χαῖρε, σκέπη τῶν ἀνθρώπων». Ὁ δεύτερος λέγει· «Χαῖρε, ναὲ θειότατε· χαῖρε, θρόνε Κυρίου». Ἐξ ἀριστερῶν δὲ ὁ τρίτος λέγει· «Χαῖρε, παράδεισε τρυφῆς· χαῖρε, ζωῆς τὸ ξύλον». Ὁ τέταρτος· «Χαῖρε, τέμενος καὶ θρόνος τοῦ μεγάλου βασιλέως». Καὶ ὑποκάτωθεν αὐτῶν ὅλα τὰ τάγματα τῶν ἁγίων ἐπὶ νεφελῶν οὕτως: οἱ προφῆται καὶ ἔμπροσθεν αὐτῶν ὁ πρόδρομος Ἰωάννης βαστῶν χαρτὶ λέγον· «Χαῖρε, προφητῶν ἡ πληροῦσα κηρύγματα». Οἱ ἀπόστολοι καὶ ἔμπροσθεν ὁ Πέτρος λέγων· «Χαῖρε, τῶν ἀποστόλων τὸ ἀσίγητον στόμα». Οἱ ἱεράρχαι καὶ ἔμπροσθεν ὁ Χρυσόστομος λέγων· «Χαῖρε, ἱερέων κῦδος καὶ ἱεραρχῶν τὸ γέρας». Οἱ μάρτυρες καὶ ἔμπροσθεν ὁ Γεώργιος λέγων· «Χαῖρε, δόξα τῶν μαρτύρων καὶ ἰσχὺς τῶν ἀθλοφόρων». Οἱ ὅσιοι καὶ ἔμπροσθεν ὁ Ἀντώνιος λέγων· «Χαῖρε, κλέος μοναζόντων καὶ ὁσίων ἡ λαμπρότης». Οἱ δίκαιοι βασιλεῖς καὶ ἔμπροσθεν ὁ Κωνσταντῖνος λέγων· «Χαῖρε, βασιλέων κράτος καὶ διάδημα, παρθένε». Αἱ μάρτυρες καὶ ἔμπροσθεν ἡ Αἰκατερίνα λέγουσα· «Χαῖρε, δόξα τῶν παρθένων καὶ προπύργιον καὶ τεῖχος». Αἱ ὅσιαι καὶ ἔμπροσθεν ἡ Εὐπραξία λέγουσα· «Χαῖρε, μοναζόντων ἡ γλυκεῖα παράκλησις». Καὶ ὑποκάτωθεν αὐτῶν ὁ ἐν Ἐδὲμ παράδεισος, στολισμένος μὲ πουλλία καὶ ζῷα διάφορα καὶ κοσμημένος μὲ ἀνθισμενοπράσινα καὶ ὡραιοπλούμιστα δένδρα, καὶ περιτειχισμένος μὲ χρυσολιθοκτισμένον τειχίον· καὶ ὁ πατριάρχης Ἀβραὰμ ἐν μέσῳ αὐτοῦ καὶ κύκλῳ αὐτοῦ πλῆθος ἀπειροκάκων παιδίων καὶ οἱ μετ' αὐτὸν πάντες προπάτορες καὶ δίκαιοι μετὰ γυναικῶν καὶ παιδίων· ἄνω ἐνατενίζοντες μεγάλως ἀγάλλονται· σὺν τούτοις δὲ καὶ ὁ εὐγνώμων λῃστὴς βαστῶν τὸν σταυρὸν ἐπὶ τῶν ὤμων αὐτοῦ.

Οἱ κδ' οἶκοι τῆς Θεοτόκου.

§ 12. α') «Ἄγγελος πρωτοστάτης». Σπίτια καὶ ἡ Παναγία καθημένη εἰς σκαμνί, κλώθουσα μετάξι κόκκινον· καὶ ἐπάνωθεν οὐρανός, καὶ ἐξ αὐτοῦ ὁ ἄγγελος κατερχόμενος μετὰ νεφελῶν μὲ τὴν δεξιὰν εὐλογεῖ αὐτήν, μὲ τὴν ἀριστερὰν βαστάζει κλαδίον

*

ἀνθισμένον.—β') «Βλέπουσα ἡ ἁγία». Σπίτια καὶ ἡ Παναγία ὀρθὴ θαυμάζουσα καὶ βαστάζουσα χαρτὶ λέγον· «Κατὰ τί γνώσομαι τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω»;. Καὶ ὁ ἀρχάγγελος Γαβριὴλ ἱστάμενος ἔμπροσθέν της μὲ τὴν δεξιὰν εὐλογεῖ αὐτήν, μὲ τὴν ἀριστερὰν βαστᾷ χαρτὶ λέγον· «Χαῖρε κεχαριτωμένη· ὁ Κύριος μετὰ σοῦ».—γ') «Γνῶσιν ἄγνωστον». Σπίτια καὶ ὁ ἀρχάγγελος ἱστάμενος εὐλαβῶς μὲ τὴν δεξιὰν δεικνύει ἄνω, μὲ τὴν ἀριστερὰν βαστᾷ χαρτὶ λέγον· «Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ καὶ δύναμις ὑψίστου ἐπισκιάσει σε». Καὶ ἡ Παναγία ἔμπροσθέν του τὴν μὲν δεξιὰν ἔχει εἰς τὸ στῆθός της, μὲ τὴν ἀριστερὰν ⟨δὲ⟩ βαστᾷ χαρτὶ λέγον· «Ἰδοὺ ἡ δούλη Κυρίου· γένοιτό μοι κατὰ τὸ ῥῆμά σου».—δ') «Δύναμις τοῦ ὑψίστου», Ἡ Παναγία καθημένη ἐπὶ θρόνου καὶ ἀπὸ τὰ δύο μέρη αὐτῆς δύο ἄγγελοι βαστάζοντες μανδήλι μεγάλο ὄπισθέν της ἀπὸ ἄνωθεν ἕως κάτω· καὶ ἐπάνωθεν αὐτῆς τὸ πνεῦμα τὸ ἅγιον κατερχόμενον μὲ λάμψιν πολλὴν καὶ μὲ νέφαλα πολλά.—ε') «Ἔχουσα θεοδόχον». Σπίτια καὶ ἐν αὐτοῖς ἡ Παναγία καὶ ἡ Ἐλισάβετ ἀσπαζόμεναι ἀλλήλαις· καὶ ὀλίγο παρέκει ὁ Ἰωσὴφ καὶ ὁ Ζαχαρίας ὁμιλοῦντες ἀλλήλοις· καὶ ὄπισθεν αὐτῶν παιδίον μικρὸν μὲ κοντὰ ῥοῦχα, ἔχον εἰς τὸν ὦμόν του δικανίκι καὶ εἰς τὸ δικανίκι καλάθι κρεμασμένον· καὶ κάτωθεν τοῦ σπιτίου παχνὶ καὶ πωλάρι δεμένον εἰς τὸ παχνὶ τρώγει.—ϛ') «Ζάλην ἔνδοθεν ἔχων». Σπίτια καὶ ἡ Παναγία ἔγκυος ἱσταμένη ἐκστατική, καὶ ὁ Ἰωσὴφ ἔμπροσθέν της ἀκουμπίζων εἰς τὴν ῥάβδον του ἁπλώνει τὴν δεξιὰν πρὸς τὴν Παναγίαν, βλέπων αὐτὴν μὲ φοβερὸ σχῆμα.—ζ') «Ἤκουσαν οἱ ποιμένες». Ἅπαντα τὰ τῆς γεννήσεως τοῦ Χριστοῦ, ἄνευ τῶν μάγων. Ζήτει σελ. 86.—η') «Θεοδρόμον ἀστέρα». Οὐρανὸς καὶ ἐξ αὐτοῦ κατερχόμενος λαμπρὸς ἀστὴρ ἐν μέσῳ ἀκτῖνος, καὶ ὑποκάτωθεν αὐτοῦ βουνὰ καὶ οἱ μάγοι ἐφ' ἵππων δεικνύουσιν αὐτὸν ἀλλήλοις·—θ') «Ἴδον παῖδες Χαλδαίων». Σπίτια καὶ ἡ Παναγία καθημένη ἐπὶ θρόνου, ἔχουσα τὸν Χριστὸν ὡς βρέφος εἰς τὰς ἀγκάλας της, καὶ οἱ μάγοι γονατιστοὶ ἔμπροσθέν της βαστάζοντες τὰ δῶρα, καὶ ὁ Ἰωσὴφ ἱστάμενος ὄπισθεν αὐτῆς, καὶ ὁ ἀστὴρ κατερχόμενος ἄνωθεν· καὶ ἔξω τοῦ σπιτίου εἷς νέος βαστῶν τὰ ἄλογα τῶν μάγων ἀπὸ τὰ σαλιβάρια.—

ι') «Κήρυκες θεοφόροι». Κάστρον καὶ ἐμπρὸς τὴν πύλην τοῦ κάστρου θυρωρὸς βλέπων ἔξω, καὶ ἔξω τοῦ κάστρου βουνὰ καὶ οἱ μάγοι καβαλλάροι καὶ εἷς ἄγγελος ὁδηγῶν αὐτούς.—ια) «Λάμψας ἐν τῇ Αἰγύπτῳ». Ζήτει τὴν εἰς Αἴγυπτον φυγὴν σελ. 87. —ιβ') «Μέλλοντος Συμεῶνος». Ἅπαντα τῆς ὑπαπαντῆς. Ζήτει σ. 87.—ιγ') «Νέαν ἔδειξε κτίσιν». Ὁ Χριστὸς ἐπὶ νεφέλης εὐλογῶν μὲ τὰ δύο χέρια, καὶ εἰς τὰ τέσσαρα μέρη τῆς νεφέλης οἱ δ' εὐαγγελισταὶ τετράμορφοι· ὑποκάτωθεν δὲ εἰς τὸ ἕνα καὶ ἄλλο μέρος ἀπόστολοι, μάρτυρες, ἱεράρχαι καὶ τὰ λοιπὰ τάγματα τῶν ἁγίων ἁπάντων. — ιδ') «Ξένον τόκον». Οὐρανὸς καὶ ἐπάνω αὐτοῦ ἡ Παναγία καθημένη ἐπὶ θρόνου μὲ τὸ βρέφος, καὶ κάτωθεν τοῦ οὐρανοῦ πλῆθος ὁσίων βλέποντες ἄνω εἰς τὸν οὐρανόν. – ιε') «Ὅλος ἦν ἐν τοῖς κάτω». Οὐρανὸς καὶ ἐπάνωθεν ὁ Χριστός, καὶ κύκλῳ αὐτοῦ ἄπειρον φῶς καὶ τὰ τάγματα τῶν ἀγγέλων· καὶ κάτωθεν τοῦ οὐρανοῦ πάλιν ὁ Χριστὸς εὐλογῶν μὲ τὰ δύο χέρια, καὶ ἀπὸ τὸ ἕνα καὶ ἄλλο μέρος αὐτοῦ ἱστάμενοι οἱ ἀπόστολοι καὶ ἄλλος ὄχλος. — ις') «Πᾶσα φύσις ἀγγέλων». Ὁ Χριστὸς καθήμενος ἐπὶ θρόνου καὶ εὐλογῶν καὶ ἐπάνωθέν του οὐρανὸς καὶ ὅλα τὰ τάγματα τῶν ἀγγέλων θαυμάζοντα καὶ ἀναβαίνοντα καὶ καταβαίνοντα ἐπ' αὐτόν. — ιζ') «Ῥήτορας πολυφθόγγους». Ἡ Παναγία καθημένη ἐπὶ θρόνου μετὰ βρέφους καὶ ἐκ δεξιῶν καὶ ἀριστερῶν αὐτῆς ἄνθρωποι νέοι καὶ γέροντες φοροῦντες εἰς τὰ κεφάλια των ἄλλοι καλπάκια, ἄλλοι μανδήλια τυλιγμένα καὶ θαυμάζοντες, καὶ εἰς τοὺς πόδας αὐτῶν βιβλία κείμενα κατὰ γῆς ἀνοικτὰ καὶ σφαλισμένα. — ιη') «Σῶσαι θέλων τόν». Οὐρανὸς μὲ ἥλιον καὶ σελήνην καὶ ἄστρα, καὶ δύο ἄγγελοι ἐξερχόμενοι ἐξ αὐτοῦ· καὶ ὑποκάτωθεν αὐτοῦ βουνὰ στολισμένα καὶ κοσμημένα μὲ δένδρα καὶ λουλούδια καὶ σπίτια ἐν αὐτοῖς, καὶ ὁ Χριστὸς περιπατῶν καὶ οἱ ἀπόστολοι ὄπισθέν του θαυμάζοντες καὶ ὁμιλοῦντες ἀλλήλοις. —ιθ') «Τεῖχος εἶ τῶν παρθένων». Σπίτια καὶ ἡ Παναγία ἐν μέσῳ ἱσταμένη, φέρουσα εἰς τὰς ἀγκάλας της ὡς βρέφος τὸν Κύριον, καὶ κύκλῳ αὐτῆς πλῆθος παρθένων.— κ') «Ὕμνος ἅπας». Οὐρανὸς καὶ ἐπ' αὐτῷ ὁ Χριστὸς καθήμενος εἰς τὸν θρόνον εὐλογῶν, καὶ κύκλῳ αὐτοῦ πλῆθος ἀγγέλων καὶ ὑποκάτωθεν αὐτοῦ ἱεράρχαι καὶ ὅσιοι κρατοῦντες

ἀνοιγμένα βιβλία. — κα') «Φωτοδόχον λαμπάδα». Ἡ Παναγία ἐν νεφέλῃ, φέρουσα εἰς τὰς ἀγκάλας της ὡς βρέφος τὸν Κύριον, καὶ φῶς πολὺ γύρωθεν αὐτῆς καὶ ἀκτῖνες κατερχόμεναι ἕως κάτω· κάτωθεν δὲ σπήλαιον σκοτεινὸν καὶ ἐν αὐτῷ ἄνθρωποι γονατιστοὶ βλέποντες πρὸς αὐτήν. — κβ') «Χάριν δοῦναι θε[λήσας]». Σπίτια καὶ ἐν αὐτοῖς ὁ Χριστὸς ἱστάμενος, σχίζων χαρτὶ μὲ τὰ χέρια του, γραμμένον μὲ γράμματα ἑβραϊκά· καὶ εἰς τὸ τέλος τοῦ χαρτίου ταῦτα τὰ γράμματα· «Τὸ τοῦ Ἀδὰμ χειρόγραφον». Καὶ ἀπὸ τὰ δύο μέρη αὐτοῦ ἄνθρωποι γονατισμένοι, νέοι καὶ γέροντες. — κγ') «Ψάλλοντές σου τὸν τόκον». Σπίτια καὶ ἡ Παναγία ἐπὶ θρόνου φέρουσα ὡς βρέφος ἐν ἀγκάλαις τὸν Κύριον, καὶ ἔμπροσθέν της ἀρχιερεῖς, ἱερεῖς, βαστάζοντες ἄλλος Εὐαγγέλιον, ἄλλος θυμιατόν· καὶ ὄπισθεν αὐτῶν ψάλται (ἄλλοι μὲ σκιάδια, ἄλλοι μὲ μακρὲς καὶ λευκὲς σκούφιες) ψάλλοντες, καὶ διάκονοι ἐν μέσῳ αὐτῶν κανοναρχοῦντες μὲ χαρτία ἀνοικτά. — κδ') «Ὦ πανύμνητε μῆτερ». Ἡ Παναγία καθημένη ἐπὶ θρόνου ὑψηλοῦ καὶ ὑποκάτω τῶν ποδῶν της ὑποπόδιον μὲ τρία σκαλούνια, καὶ ἔμπροσθεν τοῦ ὑποποδίου βασιλεῖς, ἱερεῖς, ἀρχιερεῖς, ὅσιοι, προσευχόμενοι ἄλλοι γονατιστοί, ἄλλοι ἱστάμενοι καὶ βαστάζοντες χαρτία καὶ λέγοντες «Ἀλληλούια».

Οἱ δώδεκα ἀπόστολοι καὶ τὰ σχήματα αὐτῶν.

§ 13. Ὁ Πέτρος γέρων στρογγυλογένης βαστῶν ἐπιστολὴν λέγουσαν· «Πέτρος ἀπόστολος Ἰησοῦ Χριστοῦ» (Ἰουλίου κθ').

Ὁ Παῦλος φαρακλός, βουρλογένης, μιξαιπόλιος, βαστῶν τὰς ιδ' ἐπιστολάς του τυλιγμένας καὶ δεμένας ὅλας ὁμοῦ (Ἰουλίου κθ').

Ὁ Θεολόγος Ἰωάννης, γέρων φαρακλὸς, μακρυγένης οὐ πολλά, βαστῶν Εὐαγγέλιον (Σεπτεμβ. κς').

Ὁ Ματθαῖος ὁ εὐαγγελιστής, γέρων μακρυγένης, βαστῶν Εὐαγγέλιον (Νοεμβρίου ις').

Ὁ Λουκᾶς ὁ εὐαγγελιστής, νέος σγουροκέφαλος, ὀλιγογένης, ἱστορίζων τὴν Θεοτόκον (Ὀκτωβρίου ιη').

Ὁ Μᾶρκος ὁ εὐαγγελιστής, μιξαιπόλιος, στρογγυλογένης, βαστῶν Εὐαγγέλιον (Ἀπριλίου κε').

Ὁ Ἀνδρέας, γέρων κατζαρομάλλης, εἰς δύο χωρίζων τὸ γένειον, βαστῶν σταυρὸν καὶ τυλιγμένον χαρτί (Νοεμβρ. λ').

Ὁ Σίμων ὁ Ζηλωτής, γέρων φαρακλός, στρογγυλογένης (Μαΐου ι').

Ὁ Ἰάκωβος νέος ἀρχιγένης (Ἀπριλίου λ').

Ὁ Βαρθολομαῖος νέος ἀρχιγένης (Ἰουνίου ια').

Ὁ Θωμᾶς νέος ἀγένειος (Ὀκτωβρίου ς').

Ὁ Φίλιππος νέος ἀγένειος (Νοεμβρίου ιδ').

Οὗτοι βαστάζουσι χαρτία τυλιγμένα.

Οἱ τέσσαρες εὐαγγελισταί, ὅταν κάθηνται εἰς σκαμνία καὶ γράφουν.

§ 14. Ὁ Ματθαῖος ὁ εὐαγγελιστὴς γράφων· «Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ» (α', 1).

Ὁ Μᾶρκος ὁ εὐαγγελιστὴς γράφων· «Ἀρχὴ τοῦ Εὐαγγελίου Ἰησοῦ Χριστοῦ» (α', 1).

Ὁ Λουκᾶς ὁ εὐαγγελιστὴς γράφων· «Ἐπειδή περ πολλοὶ ἐπεχείρησαν» (α', 1).

Ὁ ἅγιος Ἰωάννης ὁ Θεολόγος καὶ εὐαγγελιστὴς ἐν σπηλαίῳ καθήμενος, βλέπων ὄπισθεν ἐκστατικὸς εἰς τὸν οὐρανόν, τὴν μὲν δεξιὰν χεῖρα ἔχων ἐπάνω εἰς τὰ γόνατά του, τὴν δὲ ἀριστερὰν ἔχων ἁπλωμένην πρὸς τὸν Πρόχορον· καὶ ὁ ἅγιος Πρόχορος ἔμπροσθεν αὐτοῦ καθήμενος γράφει· «Ἐν ἀρχῇ ἦν ὁ Λόγος καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν, καὶ ὁ Θεὸς ἦν ὁ Λόγος» (α', 1). Ἔμπροσθεν δὲ αὐτῶν τὰ τετράμορφα ζῶα μὲ πτερά, βαστάζοντα Εὐαγγέλια καὶ βλέποντα πρὸς αὐτούς· εἰς τὸν Ματθαῖον ἄνθρωπος, εἰς τὸν Μᾶρκον λέων, εἰς τὸν Λουκᾶν μόσχος, εἰς τὸν Ἰωάννην ἀετός. Τὸ ὅμοιον ἀνθρώπῳ τὴν σάρκωσιν διαγράφει. Τὸ ὅμοιον λέοντι τὸ ἔμπρακτον καὶ βασιλικὸν χαρακτηρίζει. Τὸ ὅμοιον μόσχῳ τὴν ἱερουργικὴν καὶ ἱερατικὴν ἐμφαίνει. Τὸ ὅμοιον ἀετῷ τὴν ἐπιφοίτησιν τοῦ ἁγίου πνεύματος ἐμφανίζει. Γίνωσκε καὶ τοῦτο, ὅτι ὁ Ματθαῖος Μᾶρκος Λουκᾶς ἱστορίζονται ἔσω εἰς σπίτια, ὅταν γράφωσι· ὁ δὲ Ἰωάννης ἐν τῷ σπηλαίῳ μετὰ τοῦ Προχόρου.

Οἱ ἑβδομήκοντα ἀπόστολοι.

§ 15. Ὁ Ἰάκωβος ὁ Ἀδελφόθεος γέρων μακρυγένης (Ὀκτωβρίου κγ').

Ὁ Ματθίας γέρων στρογγυλογένης.
Ὁ Κλεόπας γέρων ὀξυγένης.
Ὁ Ἀνδρόνικος νέος σπανός.
Ὁ Σιλουανὸς γέρων φαρακλός, κοντογένης.
Ὁ Ἄγαβος γέρων διχαλογένης.
Ὁ Ἀνανίας γέρων μακρυγένης.
Ὁ Φίλιππος νέος ἀρχιγένης (Ὀκτ. ια').
Ὁ Πρόχορος μιξαιπόλιος, διχαλοκοντογένης.
Ὁ Νικάνωρ νέος ἀρχιγένης.
⟨Ὁ⟩ Ἰάκωβος Ἀλφαίου νέος ὀξυγένης ἐκ τῶν δώδεκα.
Ὁ Ἰούδας ἀδελφὸς τοῦ Κυρίου, νέος ἀρχιγένης.
Ὁ Ῥοῦφος μιξαιπόλιος, πλατυγένης.
Ὁ Σωσθένης γέρων φαρακλός, μακρυγένης.
Ὁ Λῖνος νέος στρογγυλογένης.
⟨Ὁ⟩ Στάχυς νέος ὀξυγένης.
Ὁ Στέφανος νέος ἀγένειος, διάκονος.
Ὁ Τίμων μιξαιπόλιος, βουρλογένης.
Ὁ Ἑρμᾶς νέος ἀρχιγένης.
⟨Ὁ⟩ Φλέγων νέος ἀγένειος.
Ὁ Σωσίπατρος νέος στρογγυλογένης.
Ὁ Ἰάσων νέος ἀρχιγένης.
Ὁ Γάιος γέρων μακρυγένης.
⟨Ὁ⟩ Τυχικὸς νέος ἀγένειος.
Ὁ Φιλήμων γέρων περικαπνισμένον ἔχων τὸ γένειον.
Ὁ Νάρκισσος νέος ἀρχιγένης.
Ὁ Τρόφιμος μιξαιπόλιος, μακρυγένης.
Ὁ Καῖσαρ νέος ἀγένειος.
Ὁ Ζηνᾶς μιξαιπόλιος, στρογγυλογένης.
Ὁ Ἀρίσταρχος γέρων σγουροκέφαλος.
Ὁ Μᾶρκος, ἀνεψιὸς Βαρνάβα, νέος ἀγένειος.
Ὁ Σίλας νέος ἀρχιγένης.
Ὁ Γάιος γέρων ὀξυγένης.
Ὁ Ἑρμῆς γέρων μακροπλατυγένης.
Ὁ Ἀσύγκριτος γέρων εἰς τρία χωρίζων τὸ γένειον.
Ὁ Ἀπολλῶς γέρων πλατυγένης.

Ὁ Κηφᾶς νέος ἀρχιγένης.
Ὁ Κλήμης γέρων κοντογένης.
Ὁ Ἰοῦστος γέρων ὀξυγένης.
Ὁ Κούαρτος μιξαιπόλιος, μακρυγένης.
Ὁ Ἔραστος νέος βουρλογένης
Ὁ Ὀνησιφόρος γέρων.
Ὁ Κάρπος γέρων εἰς δύο χωρίζων τὸ γένειον.
Ὁ Εὔοδος νέος ἀρχιγένης.
Ὁ Οὐρβανὸς νέος μακρυγένης.
Ὁ Ἀριστόβουλος γέρων.
Ὁ Τυχικὸς νέος ἀρχιγένης.
Ὁ Συμεών, ἀδελφὸς τοῦ Κυρίου, ὑπέργηρος.
Ὁ Πούδης νέος ἀρχιγένης.
Ὁ Ἡρωδίων γέρων.
Ὁ Ἀρτεμᾶς νέος ὀξυγένης.
Ὁ Φιλόλογος μιξαιπόλιος, κοντογένης.
Ὁ Ὀλυμπᾶς γέρων.
Ὁ Ῥοδίων νέος.
Ὁ Λουκᾶς γέρων μακρυγένης.
Ὁ Ἀπελλῆς νέος κοντογένης.
Ὁ Ἀμπλίας νέος ἀρχιγένης.
Ὁ Τῖτος νέος ἀγένειος.
Ὁ Πατροβᾶς νέος βουρλογένης.
Ὁ Τέρπνους γέρων φαρακλός, διχαλογένης.
Ὁ Θαδδαῖος μιξαιπόλιος, πλατυγένης·
Ὁ Ἐπαινετὸς νέος εἰς τρία χωρίζων τὸ γένειον.
Ὁ Ἀχαϊκὸς γέρων μακρυγένης.
Ὁ Ἀκύλας γέρων εἰς πέντε χωρίζων τὸ γένειον.
Ὁ Λούκιος νέος ἀγένειος.
Ὁ Βαρνάβας μιξαιπόλιος, μακρυγένης.
Ὁ Φουρτουνᾶτος γέρων στρογγυλογένης.
Ὁ Ἐπαφρόδιτος νέος ἀγένειος.
Ὁ Κρήσκης γέρων ὀξυγένης.
Ὁ Παρμενᾶς νέος.

Οὗτοι βαστοῦν χαρτία τυλιγμένα.

Οἱ ἅγιοι ἱεράρχαι καὶ τὰ σχήματα καὶ ἐπιγράμματα αὐτῶν.

§ 16. Ὁ ἅγιος Βασίλειος μιξαιπόλιος, μακρὰν ἔχων τὴν γενειάδα, ὀφρύδια καμαρωτά, λέγει εἰς χαρτί· «Οὐδεὶς ἄξιος τῶν συνδεδεμένων ταῖς σαρκικαῖς ἐπιθυμίαις». Ἰαν. α'.

Ὁ ἅγιος Ἰωάννης ὁ Χρυσόστομος, νέος ὀλιγογένης, λέγει· «Ὁ Θεὸς ὁ Θεὸς ἡμῶν, ὁ τὸν οὐράνιον ἄρτον». Νοεμ. ιγ'.

Ὁ ἅγιος Γρηγόριος ὁ Θεολόγος, γέρων φαρακλός, πλατυγένης, περικαπνισμένον ἔχων τὸ γένειον καὶ τὰ ὀφρύδια ἴσα, λέγει· «Ὁ Θεὸς ὁ ἅγιος, ὁ ἐν ἁγίοις ἀναπαυόμενος, ὁ τρισάγιος». Ἰαν. κε'.

Ὁ ἅγιος Ἀθανάσιος Ἀλεξανδρείας, γέρων φαρακλός, πλατυγένης, λέγει· «Πάλιν καὶ πολλάκις σοὶ προσπίπτομεν». Ἰαν. ιη'.

Ὁ Κύριλλος Ἀλεξανδρείας μιξαιπόλιος, μακροδιχαλογένης, φορῶν εἰς τὴν κεφαλήν του σκέπασμα μὲ σταυροὺς λέγει· «Ἐξαιρέτως τῆς παναγίας ἀχράντου».

Ὁ ἅγιος Νικόλαος ὁ ἐν Μύροις, γέρων φαρακλός, στρογγυλογένης, λέγει· «Ὁ τὰς κοινὰς ταύτας καὶ συμφώνους».

Ὁ ἅγιος Σπυρίδων, γέρων μακροδιχαλογένης, φορῶν σκούφιαν λέγει· «Ἔτι προσφέρομέν σοι τὴν λογικήν».

Ὁ ἅγιος Ἰάκωβος ὁ Ἀδελφόθεος, γέρων σγουροκέφαλος, μακρυγένης, λέγει· «Ὁ εὐλογῶν τοὺς εὐλογοῦντάς σε, Κύριε, καὶ ⟨ἁγιάζων⟩».

Ὁ ἅγιος Ἰωάννης ὁ Ἐλεήμων, γέρων ἀσπρομακρυγένης, λέγει· «Μετὰ τούτων καὶ ἡμεῖς τῶν μακαρίων».

Ὁ ἅγιος Διονύσιος ὁ Ἀρεοπαγίτης, γέρων σγουροκέφαλος, διχαλογένης, μακρυμάλλης, λέγει· «Μεμνημένος τοίνυν τῆς σωτηρίου ταύτης ἐντολῆς».

Ὁ ἅγιος Ἰγνάτιος ὁ θεοφόρος, γέρων μακρυγένης, λέγει· «Κύριε παντοκράτορ, ὁ μόνος ἅγιος, ὁ δεχό⟨μενος⟩» κτλ.

Ὁ Σίλβεστρος, πάπας Ῥώμης, γέρων μακρυγένης, λέγει· «Σοὶ παρακατατιθέμεθα τὴν ζωὴν ἡμῶν».

Ὁ Ἀνδρέας Κρήτης, γέρων ἀσπρογένης, λέγει· «Πρόσσχες, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν ἐξ ἁγίου». Ἰουλίου δ'.

Ὁ ἅγιος Γρηγόριος Νύσσης, γέρων ὀξυγένης, λέγει· «Εὐχαριστοῦμέν σοι, βασιλεῦ ἀόρατε, ὁ τῇ» κτλ. Ἰανουαρίου ι'.

Ὁ Πέτρος Ἀλεξανδρείας, γέρων στρογγυλογένης, λέγει· «Τίς σου τὸν χειτῶνα, Σῶτερ, διεῖλε»; Καὶ ὁ Χριστὸς ἱστάμενος ὡς

βρέφος ἔμπροσθέν του, εὐλογῶν αὐτόν, λέγει εἰς χαρτί· «Ἄρειος ὁ ἄφρων καὶ παγκάκιστος, Πέτρε». Νοεμβρίου κδ'.

Ὁ ἅγιος Γρηγόριος ὁ Παλαμᾶς πολιός, πλατεῖαν ἔχων τὴν γενειάδα λέγει· «Οἱ λέγοντες τὸ πνεῦμα ἐκ τοῦ υἱοῦ ἐκπορεύεσθαι τὴν μοναρχίαν τῆς θεότητος εἰς διαρχίαν τέμνουσι». Κυριακὴ β' Νηστειῶν.

Ὁ ἅγιος Γρηγόριος Νεοκαισαρείας, γέρων σγουροκέφαλος, κοντογένης. Νοεμβρίου ιζ'.

Ὁ ἅγιος Γρηγόριος ὁ Διάλογος, νέος ὀλιγογένης. Μαρτίου ιβ'.

Ὁ Γρηγόριος τῆς Μεγάλης Ἀρμενίας, γέρων κοντοπλατυγένης. Σεπτεμβρίου λ'.

Ὁ ἅγιος Γρηγόριος Ἀκραγαντίνων, γέρων κοντογένης. Νοεμ. κγ'.

Ὁ Γερμανὸς Κωνσταντινουπόλεως γέρων σπανός. Μαΐου ιβ'.

Ὁ Ἐπιφάνιος Κύπρου γέρων φαρακλός, ἀσπρογένης.

Ὁ Ἱερόθεος Ἀθηνῶν γέρων μακρυγένης. Ὀκτ. δ'.

[Ὁ ἅγιος Βησσαρίων, μητροπολίτης Λαρίσσης, ὅμοιος τῷ Παλαμᾷ. Σεπτεμβρίου ιε'][1].

Ὁ Πρόκλος Κωνσταντινουπόλεως γέρων μεγαλογένης. Νοεμ. κ'.

Ὁ Πολύκαρπος Σμύρνης γέρων στρογγυλογένης. Φεβρ. κγ'.

Ὁ Σωφρόνιος Ἱεροσολύμων μιξαιπόλιος, ὀξυγένης. Μαρτ. ια'.

Ὁ Μεθόδιος Κωνσταντινουπόλεως γέρων φουντογένης. Ἰουν. δ'.

Ὁ Μόδεστος Ἱεροσολύμων γέρων φαρακλός. Δεκεμβρίου ιη'.

Ὁ Βλάσιος Σεβαστείας γέρων σγουροκέφαλος, ὀξυγένης. Φεβρουαρίου ια'.

Ὁ Ἀμβρόσιος Μεδιολάνων γέρων ὀξυγένης. Δεκεμ. ζ'.

Ὁ Παρθένιος Λαμψάκου γέρων πλατυγένης. Φεβρ. ζ'.

Ὁ Ταράσιος Κωνσταντινουπόλεως γέρων ὀξυγένης. Φεβρ. κε'.

Ὁ Ἀντίπας Περγάμου γέρων μακρυγένης. Ἀπριλ. ια'.

Ὁ Λέων, πάπας Ῥώμης, γέρων μακρυγένης. Φεβρ. ιη'.

Ὁ Λέων Κατάνης γέρων πλατυγένης. Φεβρ. κ'.

Ὁ Ἀχίλλειος Λαρίσσης γέρων βουρλογένης. Μαΐου ιε'.

Ὁ Νίκανδρος[2] Κωνσταντινουπόλεως γέρων. Ἰουνίου β'.

[1] Προσθήκη μεταγενεστέρα.

[2] Ἀνάγνωθι· «Ὁ Νικηφόρος»

Ὁ Θεοφύλακτος γέρων σπανός. Μαρτίου η΄.

Ὁ Ἄνθιμος νέος ὀλιγογένης. Σεπτ. γ΄.

Ὁ Βαβύλας γέρων πλατυγένης. Σεπτ. δ΄.

Ὁ Αὐτόνομος γέρων κοντοστρογγυλογένης. Σεπτ. ιβ΄.

Ὁ Εὐμένιος γέρων στρογγυλογένης. Σεπτ. ιη΄.

Ὁ Πορφύριος γέρων γυμνοπώγων, ὀξυγένης, Φεβρ. κϛ΄.

Ὁ Πατρίκιος νέος ὀλιγογένης. Μαΐου ιθ΄.

Ὁ Ἀθηνογένης νέος ὀξυγένης. Ἰουλ. ιϛ΄.

Ὁ Νικηφόρος Κωνσταντινουπόλεως γέρων βουρλογένης. Μαρτίου ιγ΄.

Ὁ Μητροφάνης Κωνσταντινουπόλεως γέρων δασυγένης. Ἰουν. δ΄.

Ὁ Ὑπάτιος γέρων ὀξυγένης. Νοεμ. ιε΄.

Ὁ Εὐσέβιος ἀρχιγένης. Ἰουν. κβ΄.

Ὁ Ἀγαπητὸς γέρων ὀξυγένης. Ἀπριλίου ιζ΄.

Ὁ Μαρτῖνος Ῥώμης νέος ὀξυγένης. Σεπτ. ιϛ΄.

Ὁ Ἰωσὴφ Θεσσαλονίκης νέος ὀξυγένης. Ἰουλίου ιε΄.

Ὁ Θεράπων γέρων κοντογένης, βαστῶν φλεβότομον. Μαΐου ιδ΄.

Ὁ Ἐλευθέριος νέος ἀρχιγένης. Δεκεμβρίου ιε΄.

Ὁ Μελέτιος γέρων μακρυγένης, εἰς τρία χωρίζων τὸ γένειον. Φεβρουαρίου ιβ΄.

Ὁ Βουκόλος Σμύρνης γέρων, εἰς τρία χωρίζων τὸ γένειον. Φεβρουαρίου ϛ΄.

Ὁ Βασιλεὺς Ἀμασείας γέρων ὀξυγένης, ὅμοιος τοῦ μεγάλου Βασιλείου. Ἀπριλίου κϛ΄.

Ὁ Παῦλος ὁ ὁμολογητὴς νέος κοντοδιχαλογένης. Νοεμ. ϛ΄.

Ὁ Ἀμφιλόχιος γέρων πολλά. Νοεμβρ. κγ΄.

Ὁ Κύριλλος Ἱεροσολύμων γέρων στρογγυλογένης. Μαρτ. ιη΄.

Ὁ Ἀβέρκιος γέρων πολυγένης. Ὀκτ. κβ΄.

Ὁ Κυπριανὸς νέος σγουροκέφαλος, μακροδιχαλογένης. Ὀκτ. β΄.

Ὁ Ἰωάννης ὁ Νηστευτὴς γέρων οὐ πολλά. Σεπτ. β΄.

Ὁ Δονᾶτος Εὐροίας γέρων ἀσπρογένης. Ἀπριλίου λ΄.

Ὁ Μιχαὴλ Συνάδων γέρων ὀξυγένης. Μαΐου κγ΄.

Ὁ Λεονίδης γέρων κοντογένης. Ἀπριλίου ιϛ΄.

Ὁ Ἱππόλυτος Ῥώμης νέος ὀλιγογένης. Ἰανουαρίου λ΄.

Ὁ Κλήμης Ῥώμης γέρων πλατυγένης. Νοεμβρίου κγ΄.

Ὁ Κλήμης Ἀγκύρας πολιός, στρογγυλογένης. Ἰαν. κγ'.

Ὁ Χαραλάμπης ἱερεὺς γέρων ὀξυδιχαλογένης. Φεβρ. ι'.

Ὁ Ἰωσὴφ ὁ πρεσβύτερος γέρων ὀξυγένης. Ἀπρ. γ'.

Οἱ ἅγιοι διάκονοι.

§ 17. Ὁ Στέφανος ὁ πρωτομάρτυς καὶ ἀρχιδιάκονος νέος ἀγένειος. Δεκεμβρίου κζ'.

Ὁ Ῥωμανὸς ὁ μελῳδὸς νέος ἀρχιγένης. Ὀκτ. α'.

Ὁ Εὔπλος νέος ἀγένειος. Αὐγούστου ια'.

Ὁ Λαυρέντιος νέος ἀρχιγένης. Αὐγούστου ι'.

Ὁ Ρουφῖνος νέος ἀγένειος. Ἀπριλίου ζ'.

Ὁ Βενιαμὶν νέος ἀρχιγένης. Ὀκτ. ιγ'.

Ὁ Ἀειθαλᾶς νέος ἀγένειος. Δεκεμ. ια'.

Ὁ Κύριλλος νέος ἀγένειος. Μαρτίου κθ'.

Οἱ ἅγιοι μάρτυρες καὶ τὰ σχήματα αὐτῶν.

§ 18. Ὁ ἅγιος Γεώργιος νέος ἀγένειος. Ἀπριλίου κγ'.

Ὁ ἅγιος Δημήτριος νέος μουστακίζων. Ὀκτ. κϛ'.

Ὁ Προκόπιος νέος ἀγένειος. Ἰουλίου η'.

Ὁ Θεόδωρος ὁ στρατηλάτης νέος σγουροκέφαλος, βουρλογένης. Φεβρουαρίου η'.

Ὁ Θεόδωρος ὁ Τήρων μαυρογένης, τὰ μαλλία ἄνωθεν τῶν ὠτίων ἔχων. Φεβρουαρίου ιζ'.

Ὁ Μερκούριος νέος ἀρχιγένης. Νοεμβρίου κε'.

Ὁ Ἀρτέμιος ὅμοιος τοῦ Χριστοῦ τὸ εἶδος. Ὀκτ. κ'.

Ὁ Νικήτας, καὶ αὐτὸς ὅμοιος αὐτῷ. Σεπτ. ιε'.

Ὁ Μηνᾶς ὁ Αἰγύπτιος γέρων στρογγυλογένης. Νοεμ. ια'.

Ὁ Βίκτωρ καὶ Βικέντιος νέοι ἀγένειοι.

Ὁ Ἰάκωβος ὁ Πέρσης νέος μαυροδιχαλογένης. Σεπτ. κζ'.

Ὁ Καλλίστρατος νέος μαυροδιχαλογένης. Σεπτ. κζ'.

Ὁ Γουρίας γέρων κοντογένης. Νοεμ. ιε'.

Ὁ Σαμωνᾶς νέος κοντογένης.

Ὁ Ἄβιβος διάκονος, στρογγυλογένης ὀλίγον.

Ὁ Ἀρέθας γέρων ὀξυγένης. Ὀκτ. κδ'.

Ὁ Μηνᾶς ὁ καλλικέλαδος νέος ὀξυγένης. Δεκ. ι'

Ὁ Ἑρμογένης ἀρχιγένης.

Ὁ Εὔγραφος ἀγένειος.

Ὁ Εὐστάθιος ὁ Πλακίδας μιξαιπόλιος, στρογγυλογένης. Σεπτ. κ′.

Ὁ Ἀγάπιος καὶ Θεόπιστος οἱ υἱοί του νέοι ἀγένειοι.

Ὁ Σέργιος καὶ Βάκχος νέοι ἀγένειοι. Ὀκτ. ζ′.

Ὁ Ἑρμύλος γέρων στρογγυλογένης.

Ὁ Στρατόνικος νέος ἀγένειος. Ἰαν. ιγ′.

Ὁ Γυμνάσιος νέος στρογγυλογένης. Ὀκτ. ιδ′.

Ὁ Ναζάριος μιξαιπόλιος, ὀλιγογένης.

Ὁ Γερβάσιος νέος πλατυγένης.

Ὁ Πορτάσιος (γρ. Προτάσιος) νέος κοντογένης.

Ὁ Κέλσιος νέος ἀγένειος.

Ὁ Πρόβος γέρων. Ὁ Τάραχος νέος. Ὁ Ἀνδρόνικος ἀρχιγένης. Ὀκτωβρίου ιβ′.

Ὁ Νέστωρ νέος ἀγένειος. Ὀκτωβρίου κζ′.

Ὁ Μαρκιανὸς καὶ Μαρτύριος νέοι βαστοῦντες καλαμάρια. Ὀκτωβρίου κε′.

Ὁ Ὀνησιφόρος νέος ἀρχιγένης. Νοεμ. θ′.

Ὁ Σισίννιος γέρων κοντογένης. Νοεμ. κγ′.

Ὁ Πάμφιλος νέος ὀλιγογένης. Φεβρ. ις′.

Ὁ Εἰρήναρχος νέος ἀγένειος. Νοεμ. κθ′.

Ὁ Πλάτων καὶ Ῥωμανὸς νέοι ἀγένειοι. Νοεμ. ιη′.

Ὁ Ἀδριανὸς νέος ὀξυγένης. Αὐγούστου κς′.

Ὁ Λουκιανὸς νέος ἀγένειος. Ὀκτωβρίου ις′.

Ὁ Λεόντιος νέος ἀγένειος. Ἰουνίου ιη′.

Ὁ Γόρδιος νέος ἀρχιγένης. Ἰαν. γ′.

Ὁ Νεόφυτος νέος ἀγένειος. Ἰαν. κα′.

Ὁ Φλῶρος καὶ Λαῦρος νέοι ἀγένειοι. Αὐγ. ιη′.

Ὁ Βονιφάτιος νέος. Ὁ Αἰμιλιανὸς νέος. Δεκεμ. ιθ′.

Ὁ Ἀκάκιος ὅμοιος τῷ ἁγίῳ Μερκουρίῳ.

Ὁ Λουκιλιανὸς μιξαιπόλιος, στρογγυλογένης. Ἰουν. γ′.

Ὁ Ἀγαθόνικος νέος ὀλιγογένης. Αὐγ. κβ′.

Ὁ Εὐλάμπιος νέος στρογγυλογένης. Ὀκτ. ι′.

Ὁ Νικηφόρος νέος στρογγυλογένης. Φεβρ. θ′.

Ὁ Οὔαρος νέος κοντογένης. Ὀκτ. ιθ′.

Ὁ Μώκιος νέος ὀλιγογένης. Ἰαν. κθ'.
Ὁ Ζηνόβιος νέος ἀρχιγένης. Ὀκτ. λ'.
Ὁ Μαῦρος νέος στρογγυλογένης. Ὀκτ. ιζ'.
Ὁ Πολύευκτος νέος κοντογένης. Ἰαν. θ'.
Ὁ Γοβδελαᾶς νέος ἀγένειος. Σεπτ. κθ'.
Ὁ Λοῦππος νέος ἀγένειος. Αὐγ. κγ'.
Ὁ Ἰωάννης ὁ νέος μάρτυς ὅμοιος Νέστορος. Ἀπρ. ιη'.
Ὁ Κήρυκος τριετής. Ἰουλ. ιε'.
Ὁ Ἰουλιανὸς ὁ Αἰγύπτιος νέος ἀρχιγένης. Ἰαν. η'.
Ὁ Μάμας νέος ἀγένειος. Σεπτ. β'.
Ὁ Ἀκίνδυνος νέος ὀξυγένης. Νοεμβρ. ιβ'.
Ὁ Πηγάσιος νέος στρογγυλογένης Νοεμ. ιβ'.
Ὁ Ἀφθόνιος νέος διχαλογένης. Νοεμ. ιβ'.
Ὁ Ἐλπιδηφόρος καὶ Ἀνεμπόδιστος νέοι ἀγένειοι. Νοεμ. ιβ'.
Ὁ Σεβαστιανὸς νέος ἀρχιγένης. Δεκ. ιη'.
Ὁ Ἀνδρέας ὁ στρατηλάτης γέρων σγουροκέφαλος. Αὐγ. ιθ'.
Ὁ Μαυρίκιος μιξαιπόλιος, στρογγυλογένης. Δεκ. κζ'.
Ὁ Θεόδουλος νέος ἀρχιγένης. Ἀπρ. δ'.
Ὁ Ἀγαθόπους ἀγένειος. Ἀπρ. δ'.
Ὁ Κρήσκης ὁ ἐν Μύροις νέος ἀρχιγένης. Ἀπρ. ιε'.
Ὁ Ἰσίδωρος ὁ ἐν Χίῳ ἀρχιγένης, ὅμοιος Ἀρτεμίῳ. Μαΐου ιδ'.
Ὁ Χριστοφόρος νέος ἀγένειος. Μαΐου θ'.

Οἱ πέντε μάρτυρες.

§ 19. Ὁ Εὐστράτιος γέρων ὀξυγένης.
Ὁ Αὐξέντιος γέρων ὀξυγένης, σγουροκέφαλος.
Ὁ Μαρδάριος γέρων στρογγυλογένης.
Ὁ Εὐγένιος νέος ἀρχιγένειος.
Ὁ Ὀρέστης νέος ἀγένειος.
} Δεκ. ιγ'.

Οἱ δέκα μάρτυρες.

§ 20. Ὁ Θεόδουλος νέος ἀγένειος.
Ὁ Σατορνῖνος νέος ἀρχιγένης.
Ὁ Εὔπορος νέος στρογγυλογένης.
Ὁ Γελάσιος νέος ἀρχιγένης.
} Δεκ. κγ'.

Ὁ Εὐνικιανὸς γέρων ὀξυγένης.
Ὁ Ζωτικὸς νέος ὀξυγένης.
Ὁ Ἀγαθόπους νέος ἀγένειος.
Ὁ Βασιλείδης νέος στρογγυλογένης. — Δεκ. κγ'.
Ὁ Εὐάρεστος νέος σγουροκέφαλος μουστακίζων.
Ὁ Πόμπιος γέρων ὀξυγένης.

Οἱ ἅγιοι μ' μάρτυρες οἱ ἐν Σεβαστείᾳ.
Μαρτίου θ'.

§ 21. Ὁ Ἡσύχιος νέος μουστακίζων.
⟨Ὁ⟩ Μελίτων νέος ἀγένειος.
Ὁ Ἡράκλειος νέος ὀξυγένης.
⟨Ὁ⟩ Σμάραγδος μουστακίζων.
Ὁ Δόμνος γέρων ὀξυγένης.
⟨Ὁ⟩ Εὐνοϊκὸς νέος στρογγυλογένης
Ὁ Οὐάλης νέος ὀξυγένης.
⟨Ὁ⟩ Βιβιανὸς γέρων ὀξυγένης.
Ὁ Κλαύδιος γέρων σγουροκέφαλος, κοντογένης.
Ὁ Πρίσκος γέρων ὀλιγογένης.
Ὁ Θεόδουλος μιξαιπόλιος, ὀξυγένης.
Ὁ Εὐτύχιος γέρων ὀξυγένης.
⟨Ὁ⟩ Ἰωάννης νέος ὀξυγένης.
Ὁ Ξανθίας νέος σγουροκέφαλος.
Ὁ Ἠλιανὸς γέρων πλατυγένης.
Ὁ Σισίννιος γέρων φαρακλός, στρογγυλογένης.
Ὁ Κυρίων νέος ἀγένειος.
⟨Ὁ⟩ Ἀγγίας νέος ἀγένειος.
Ὁ Ἀέτιος νέος ἀρχιγένης.
Ὁ Φλάβιος νέος σγουροκέφαλος.
Ὁ Ἀκάκιος νέος ὀξυγένης.
Ὁ Ἐκδίκιος νέος ἀγένειος.
Ὁ Λυσίμαχος γέρων διχαλογένης.
Ὁ Ἀλέξανδρος νέος σγουροκέφαλος, ὀξυγένης.
Ὁ Ἠλίας νέος στρογγυλογένης.
Ὁ Γοργόνιος μιξαιπόλιος, φαρακλός, στρογγυλογένης.

Ὁ Θεόφιλος νέος ἀγένειος.
Ὁ Δομετιανὸς μιξαιπόλιος, ὀξυγένης.
Ὁ Γάιος γέρων ὀξυγένης.
Ὁ Γοργόνιος νέος μουστακίζων.
Ὁ Εὐτυχὴς νέος ἀρχιγένης.
Ὁ Ἀθανάσιος γέρων εἰς πέντε χωρίζων τὸ γένειον.
Ὁ Κύριλλος νέος στρογγυλογένης.
Ὁ Σακέρδων γέρων ὀξυγένης.
Ὁ Οὐαλέριος νέος κοντογένης.
Ὁ Φιλοκτήμων νέος στρογγυλογένης.
Ὁ Σεβηριανὸς νέος σπανός, φαρακλός.
Ὁ Λουδίων νέος ἀγένειος.
Ὁ ἅγιος Κάνδιδος, ὁ φύλαξ αὐτῶν, νέος ἀρχιγένης.

Οἱ ἅγιοι Μακκαβαῖοι.

Αὐγούστου α'.

§ 22. Ὁ ἅγιος Ἀβεὶβ μουστακίζων.
Ὁ Γουρίας καὶ Ἀντώνιος νέοι ἀγένειοι.
Ὁ Ἐλεάζαρ καὶ Εὐσεβωνᾶς νέοι ἀγένειοι.
Ὁ Ἀλεὶμ καὶ Μάρκελλος παιδία.
Ὁ ἅγιος Ἐλεάζαρ, ὁ διδάσκαλος αὐτῶν, γέρων μακρυγένης.
Ἡ ἁγία Σολομονή, ἡ μήτηρ αὐτῶν, γραῦς.

Οἱ ἅγιοι ἑπτὰ παῖδες ἐν Ἐφέσῳ, ἐν σπηλαίῳ κοιμώμενοι.

Ἀρχὴ τῆς τρίτης τάξεως. — Ἔσωθεν τοῦ βήματος, ὑποκάτω τῆς Θείας Λειτουργίας, ποίησον τὴν Μετάδοσιν τοῦ Κυριακοῦ σώματος καὶ αἵματος πρὸς τοὺς ἀποστόλους. Ζήτει σελ. 127. Καὶ ἀπὸ τὸ δεξιὸν μέρος τῆς Μεταδόσεως ἕως τὸν τέμπλον ποίησον ταῦτα· τὰ Εἰσόδια τῆς Θεοτόκου (ζήτει σελ. 144), τὸν Μωϋσῆν καὶ Ἀαρὼν λειτουργοῦντας ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου (ζήτει σελ. 57). Ἀπὸ τὸ ἀριστερὸν μέρος τῆς Μεταδόσεως ἕως τὸν τέμπλον ποίησον ταῦτα· τὴν Κλίμακα τοῦ Ἰακὼβ (ζήτει σελ. 52), τὴν Κιβωτὸν φερομένην εἰς Ἱερουσαλὴμ (ζήτει σελ. 59). Ἔξωθεν δὲ τοῦ βήματος, τριγύρου τοῦ ναοῦ εἰς τὸ δεξιὸν καὶ ἀριστερὸν μέρος, ποίησον τὰς ἐκλεκτοτέρας παραβολάς, τὴν Ὕψωσιν τοῦ Σταυροῦ (ζήτει σελ. 170) καὶ τὴν Ἀναστήλωσιν τῶν Ἁγίων Εἰκόνων (ζήτει σελ. 173). Εἰς δὲ τὸ δυσικὸν μέρος, ἄνωθεν τῆς πύλης τοῦ ναοῦ, ποίησον τὴν Κοίμησιν τῆς Θεοτόκου καὶ τὰς λοιπὰς θεομητορικὰς ἑορτάς (ζήτει σελ. 144 κέ), καὶ οὕτω τελειώνει ἡ τρίτη τάξις.

Ἀρχὴ τῆς τετάρτης τάξεως.—Ὑποκάτω τῆς τρίτης τάξεως, γύρωθεν ὅλου τοῦ ναοῦ καὶ τοῦ ἱεροῦ, ποίησον ἁγίους μέσα εἰς κύκλους, ἔσω μὲν εἰς τὸ βῆμα ἱεράρχας, ἔξω δὲ εἰς τοὺς χοροὺς μάρτυρας, δυσικὰ δὲ ὁσίους καὶ ποιητὰς ὅσους βούλει, καὶ οὕτω τελειώνει ἡ τετάρτη τάξις.

Ἀρχὴ τῆς πέμπτης τάξεως.—Ὑποκάτωθεν δὲ τῆς τετάρτης τάξεως, εἰς τὸ ἱερὸν κύκλῳ τῆς ἁγίας τραπέζης, ποίησον τοὺς ἁγίους ἱεράρχας, δεξιὰ τὸν μέγαν Βασίλειον, ἀριστερὰ τὸν Χρυσόστομον καὶ τοὺς λοιποὺς ἐπισήμους ἱεράρχας μὲ χαρτία καὶ ἐπιγράμματα· καὶ πλησίον τῆς προσκομιδῆς ποίησον τὸν ἅγιον Πέτρον Ἀλεξανδρείας βαστῶν χαρτὶ λέγον· «Τίς σου τὸν χιτῶνα, Σῶτερ, διεῖλεν»; Ἔμπροσθεν δὲ αὐτοῦ ποίησον τὸν Χριστὸν ὡς βρέφος ἐπάνω εἰς ἁγίαν τράπεζαν, φορῶν σχισμένον ὑποκάμισον, μὲ τὴν δεξιὰν εὐλογῶν αὐτόν, μὲ τὴν ἀριστερὰν βαστῶν χαρτὶ λέγον· «Ἄρειος ὁ ἄφρων καὶ παγκάκιστος, Πέτρε». Καὶ ὑποκάτω τῶν καμάρων ποίησον τοὺς ἁγίους διακόνους. Ζήτει σελ. 157. Ἔξωθεν δὲ εἰς τοὺς χοροὺς ποίησον τοὺς ἁγίους μεγαλομάρτυρας, δεξιὰ τὸν ἅγιον Γεώργιον, ἀριστερὰ τὸν Δημήτριον καὶ τοὺς λοιποὺς κατὰ τάξιν. Ζήτει σελ. 157—159. Ποίησον καὶ τοὺς Ἀναργύρους (ζήτει σελ. 161) καὶ τὸν ἅγιον Κωνσταντῖνον καὶ Ἑλένην βαστάζοντας μαζὶ τὸν σταυρὸν τοῦ Κυρίου. Ζήτει σελ. 168. Εἰς τὸ δυσικὸν μέρος ποίησον δεξιὰ τὸν ἅγιον Ἀντώνιον, ἀριστερὰ τὸν Εὐθύμιον καὶ τοὺς λοιποὺς ἐπισήμους ὁσίους καὶ ποιητὰς μὲ χαρτία καὶ ἐπιγράμματα. Ζήτει σελ. 162—168. Ἔσωθεν δὲ τῆς πύλης τοῦ ναοῦ εἰς τὸ δεξιὸν μέρος ποίησον τὸν ἀρχάγγελον Μιχαὴλ μετὰ σπάθης, βαστῶν χαρτὶ λέγον·

Θεοῦ στρατηγός εἰμι τὴν σπάθην φέρων
καὶ τοὺς ἐνταῦθα εἰσιόντας ἐν φόβῳ
φρουρῶ, προμαχῶ, ὑπερμαχῶ καὶ σκέπω·
τοὺς δὲ καρδίᾳ ῥυπαρᾷ εἰσιόντας
πικρῶς ἐκτέμνω ἐν τῇ ῥομφαίᾳ τῇδε.

Εἰς δὲ τὸ ἀριστερὸν τὸν Γαβριὴλ βαστῶν χαρτὶ καὶ γράφων μὲ κονδύλι ταῦτα·

Ὀξυγράφον κάλαμον τῇ χειρὶ φέρων
τῶν εἰσιόντων συνταγὰς ἀπογράφω·
φρουρῶ στέργοντας· εἰ δὲ μή, φθείρω τάχει.

Ἐπάνωθεν δὲ τῆς πύλης ποίησον τὸν Χριστὸν ὡς τριετὲς βρέφος κοιμώμενον εἰς πάπλωμα καὶ ἀκουμπίζοντα εἰς τὸ χέρι του τὴν κεφαλήν του, καὶ τὴν Θεοτόκον ἱσταμένην ἔμπροσθέν του εὐλαβῶς, καὶ κύκλῳ αὐτοῦ ἀγγέλους βαστάζοντας ῥιπίδια καὶ ῥι-

πίζοντας αὐτόν. Ὑποκάτωθεν δὲ αὐτοῦ ποίησον τίτλον καὶ γράψον ταύτην τὴν ἐπιγραφήν· «Ἱστορήθη ὁ παρὼν θεῖος καὶ ἱερὸς ναὸς τῆς θείας καὶ ἱερᾶς μονῆς (ὁδεῖνα) διὰ συνδρομῆς (ὁδεῖνα) ἐν ἔτει (ὁδεῖνα)».

Περὶ νάρθηκος.

§ 8. Ἀνίσως ὁ νάρθηξ ὁποῦ θέλεις νὰ ἱστορήσῃς ἔχει δύο τρούλλας, εἰς τὴν μίαν ἄνω ποίησον τὸ Πᾶσα Πνοὴ οὕτως· γύρισε πόλον καὶ μέσον ποίησον τὸν Χριστὸν μὲ τὰ Τάγματα τῶν Ἀγγέλων, καὶ κατωτέρω τριγύρου τὰ Τάγματα τῶν Ἁγίων· ζήτει σελ. 128. Εἰς δὲ τὴν ἄλλην τρούλλαν ποίησον τὸ Ἄνωθεν οἱ Προφῆται· γύρισε οὐρανὸν καὶ γύρωθεν αὐτοῦ γράψον· «Ἄνωθεν οἱ προφῆται σὲ προκατήγγειλαν»· καὶ μέσον αὐτοῦ ποίησον τὴν Παναγίαν μετὰ βρέφους καὶ ἀγγέλους βαστάζοντας αὐτήν, καὶ κατωτέρω τριγύρου τοὺς προφήτας· ζήτει σελ. 146. Κατωτέρω εἰς τὰς γωνίας τούτους τοὺς ποιητὰς καθημένους εἰς θρόνους καὶ γράφοντας· εἰς μὲν τὸ δεξιὸν μέρος, ὁποῦ εἶναι τὸ Πᾶσα Πνοή, τὸν Δαμασκηνὸν Ἰωάννην γράφοντα· «Τὸν πρὸ αἰώνων ἐκ πατρὸς γεννηθέντα, τὸν Θεὸν Λόγον σαρκωθέντα ἐκ παρθένου Μαρίας» κτλ. Καὶ τὸν ἅγιον Κοσμᾶν γράφοντα· «Εἰκὼν ἀπαράλλακτε τοῦ ὄντος ἀκίνητε, σφραγὶς ἀναλλοίωτε, υἱὲ λόγε σοφία καὶ βραχίων δεξιὰ ὑψίστου σθένος, σὲ ὑμνοῦμεν σὺν πατρί σου καὶ τῷ πνεύματι». Καὶ τὸν ἅγιον Ἀνατόλιον γράφοντα· «Εὐφράνθητε οὐρανοί, σαλπίσατε τὰ θεμέλια τῆς γῆς, βοήσατε τὰ ὄρη εὐφροσύνην· ἰδοὺ γὰρ ὁ Ἐμμανουὴλ τὰς ἁμαρτίας ἡμῶν τῷ:». Τὸν ἅγιον Κυπριανὸν γράφοντα· «Θαυμαστὸς εἶ ὁ Θεὸς ἡμῶν καὶ θαυμαστὰ τὰ ἔργα σου καὶ αἱ ὁδοί σου ἀνεξιχνίαστοι· πέλεις γὰρ σοφία τοῦ Θεοῦ καὶ ὑπόστασις τελεία καὶ δύναμις συνάναρχός τε καὶ συναΐδιος». Εἰς δὲ τὸ ἀριστερόν, ὁποῦ εἶναι τὸ (Ἄνωθεν οἱ Προφῆται), τὸν ἅγιον Μητροφάνην γράφοντα· «Ῥήσεις προφητῶν προδιέγραψαν, ἄχραντε, τὸν σὸν τόκον τὸν ἀπόρρητον καὶ δυσερμήνευτον, ὃν ἡμεῖς ἐγνώκαμεν μυσταγωγὸν τῆς»: Τὸν ἅγιον Ἰωσὴφ γράφοντα· «Οὐρανὸν ὁ τανύσας βουλήματι οὐρανὸν ἐπίγειον ἄλλον ἐπλάτυνε σέ, θεομῆτορ ἄχραντε, καὶ ἐκ σοῦ ἀνατείλας ἐπέφανε». Τὸν ἅγιον Θεοφάνην γράφοντα· «Ῥήσεσιν ἑπόμενοι τῶν θεηγόρων, πανάμωμε, Θεοτό-

κον φρονοῦμέν σε· Θεὸν γὰρ ἐγέννησας σεσωματωμένον.—Ἀσπόρου συλλήψεως ὁ τόκος ἀνερμήνευτος, μητρὸς ἀνάνδρου ἄφθορος ἡ κύησις· Θεοῦ γὰρ ἡ γέννησις» κτλ. Κάτωθεν δὲ εἰς τὰ σταυροθόλια ποίησον ἀπὸ τὰ μαρτύρια τοῦ ἐνιαυτοῦ ὅσα χωρεῖ· ζήτει σελ. 189—208. Γύρωθεν δὲ εἰς τοὺς ἴσιους τοίχους ποίησον τοὺς κδ' οἴκους τῆς Θεοτόκου· ζήτει σελ. 147—150. Κατωτέρω δὲ ἀνατολικὰ ἄνωθεν τῆς πύλης ποίησον τὸν Χριστὸν ἐπὶ θρόνου μὲ Εὐαγγέλιον ἀνοικτὸν λέγον· «Ἐγώ εἰμι ἡ θύρα· δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται, καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται, καὶ νομὴν εὑρήσει» (Ἰωάν. ι', 9). Καὶ ἀπὸ τὰ δύο μέρη αὐτοῦ ποίησον τὴν Παναγίαν καὶ τὸν Πρόδρομον πρεσβείαν ποιοῦντας· δυσικὰ δὲ ποίησον τὰς ἁγίας καὶ οἰκουμενικὰς ἑπτὰ συνόδους· ζήτει σελ. 171—173. Εἰς τὸν δεξιὸν χορὸν ποίησον τὴν ῥίζαν τοῦ Ἰεσσαὶ (ζήτει σελ. 84) καὶ τὴν παράβασιν καὶ ἐξορίαν τοῦ Ἀδὰμ (ζήτει σελ. 47) καὶ ἄλλα τῆς Παλαιᾶς. Εἰς τὸν ἀριστερὸν χορὸν ποίησον παραβολὰς καὶ τὴν ψυχοσωτήριον καὶ οὐρανοδρόμον Κλίμακα, κατωτέρω δὲ ποίησον ὁσίους καὶ ποιητάς· ζήτει σελ. 114—126, 162—168.

Πῶς ἱστορίζεται φιάλη.

§ 9. Ἄνω εἰς τὴν τρούλλαν ποίησον οὐρανὸν μὲ ἥλιον καὶ σελήνην καὶ ἀστέρας, καὶ ἔξωθεν τοῦ οὐρανοῦ τριγύρου ποίησον δόξαν μὲ πλῆθος ἀγγέλων, καὶ ὑποκάτωθεν αὐτῶν τριγύρου ποίησον πρώτην τάξιν τὰ ἐν τῷ Ἰορδάνῃ γενόμενα ὑπὸ τοῦ Προδρόμου (ζήτει σελ. 88—89), βάνοντας ἀνατολικὰ τὴν βάπτισιν τοῦ Χριστοῦ· καὶ ἄνωθεν τῆς κεφαλῆς τοῦ Χριστοῦ ποίησον ἀκτῖνα κατερχομένην ἐκ τοῦ οὐρανοῦ, καὶ εἰς τὴν ἄκρην τῆς ἀκτῖνος τὸ Ἅγιον Πνεῦμα· μέσον δὲ τῆς ἀκτῖνος ἀπὸ ἄνωθεν ἕως κάτω γράφον αὐτὰ τὰ γράμματα· «Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα» (Ματθ. γ', 17). Κατωτέρω δὲ ποίησον δευτέραν τάξιν, τὰ θαύματα τῆς Παλαιᾶς, ὅσα προεικόνιζαν τὸ θεῖον βάπτισμα, τὴν εὕρεσιν τοῦ Μωϋσέως (ζήτει σελ. 55), τὸν καταποντισμὸν Αἰγυπτίων (ζήτει σελ. 56), τὸν Μωϋσέα γλυκαίνοντα τὰ Μερρᾶς ὕδατα (σελ. 56), τὰς δώδεκα πηγὰς τῶν ⟨ὑδάτων⟩ καὶ ο' στελ⟨έχη τῶν φοινίκων⟩ (σελ. 57), τὸ Ὕδωρ τῆς Ἀντιλογίας

(σελ. 58), τὴν διάβασιν τῆς κιβωτοῦ διὰ τοῦ Ἰορδάνου (σελ. 59, § 62), τὸν πόκον Γεδεών (σελ. 59), τὴν θυσίαν Ἠλιού (σελ. 64), τὸν Ἠλίαν διαβαίνοντα τὸν Ἰορδάνην (σελ. 65), τὸν Ἐλισσαῖον διαβαίνοντα τὸν Ἰορδάνην (σελ. 65), τὸν Νεεμὰν λουόμενον ἐν τῷ Ἰορδάνῃ (σελ. 66) καὶ τὴν Ζωοδόχον Πηγήν (σελ. 145). Εἰς δὲ τὰ κεφαλοκόλωνα ποίησον τοὺς προφήτας ὁποῦ προφητεύουν διὰ τὸ βάπτισμα.

Πῶς ἱστορίζεται τράπεζα.

§ 10. Ὅταν θέλῃς νὰ ἱστορήσῃς τράπεζαν, πρῶτον ποίησον εἰς τὴν καμάραν ἄνωθεν τῆς ἡγουμενικῆς τραπέζης τὸν Δεῖπνον τὸν Μυστικόν, καὶ ἔξωθεν τῆς καμάρας, εἰς τὰ πλάγια, τὸν Εὐαγγελισμὸν τῆς Θεοτόκου, καὶ τριγύρου ταῦτα τὰ θαύματα τοῦ Χριστοῦ· τὸν Χριστὸν συνεσθίοντα τοῖς τελώναις (ζήτει σελ. 93)· τοὺς ἀποστόλους τίλλοντας τοὺς στάχυας· τὸν Χριστὸν εὐλογοῦντα τοὺς πέντε ἄρτους καὶ τοὺς ζ′ (ζήτει σελ. 96, 97)· τὴν φιλοξενίαν τῆς Μάρθας (ζήτει σελ 98)· τὴν πόρνην τὴν ἀλείφουσαν τὸν Κύριον μύρῳ ἐν τῇ οἰκίᾳ Σίμωνος (ζήτει σελ. 101)· τὸν Χριστὸν εἰς Ἐμμαοῦς κλῶντα τὸν ἄρτον (ζήτει σελ. 111)· τὸν Χριστὸν τρώγοντα μετὰ τὴν ἀνάστασιν ἰχθύος ὀπτοῦ μέρος καὶ ἀπὸ μέλιτος (ζήτει σελ. 111)· τὸν Χριστὸν ἐπὶ τὴν Τιβεριάδος θάλασσαν (σελ. 112) καὶ παραβολὰς οἵας βούλει. καὶ τὰ θαύματα τοῦ ἁγίου τῆς μονῆς. καὶ τὴν ἔκπτωσιν τοῦ Ἑωσφόρου (ζήτει σ. 46), καὶ οὕτω γίνεται ἡ πρώτη τάξις.—Ἀρχὴ τῆς δευτέρας τάξεως.—Ὑποκάτωθεν τοῦ Μυστικοῦ Δείπνου ποίησον τοὺς ἐπισήμους ἱεράρχας μὲ ὁσιακὰς στολὰς καὶ μὲ ἐπιγράμματα ὁσιακά· δεξιὰ τὸν ἅγιον Βασίλειον λέγοντα εἰς χαρτί·

Ψυχῆς τὸ κάλλος ἀσφαλῶς φρουρητέον·
τοῦτο ζητήσει Θεὸς ἐκ βροτῶν γένους.

Τον Θεολόγον Γρηγόριον λέγοντα·

Ποιμὴν λογικῆς ἐγκαταστὰς ἀγέλης.
ἁπλοῦς, ταπεινός, εὐμενής, πρᾶος ἔσο·
οὕτω γὰρ αὐτὴν πληθυνεῖς ἐν Κυρίῳ.

Τὸν ἅγιον Νικόλαον λέγοντα· «Εἷς Θεὸς πατὴρ Λόγου ζῶντος, σοφίας ὑφεστώσης καὶ δυνάμεως καὶ χαρακτῆρος ἀϊδίου». Ἀριστερὰ δὲ τὸν Χρυσόστομον λέγοντα·

Τῶν πρὶν ἕκαστος εἴπερ ἐκστῇ σφαλμάτων,
σωθήσεται πᾶς ἐγγυῶμαι γνησίως.

Τὸν ἅγιον Ἀθανάσιον Ἀλεξανδρείας λέγοντα· «Ἕνα Θεὸν σεβόμεθα ἐν τριάδι καὶ τρία πρόσωπα ἐν μονάδι». Τὸν ἅγιον Κύριλλον Ἀλεξανδρείας λέγοντα· «Οἱ τὰ ὅπλα τῆς νηστείας ῥίπτοντες ὑπὸ τῆς γαστριμαργίας σκελίζονται καὶ ὑπὸ τῆς πορνομοιχοῦ ἀναιροῦνται ἁμαρτίας». Ἔξωθεν δὲ τῆς καμάρας εἰς μὲν τὸ δεξιὸν μέρος ποίησον τὸν Ἀντώνιον γυρισμένον πρὸς τὴν τράπεζαν καὶ λέγοντα εἰς χαρτί· «Μὴ ἀπατῶ, μοναχέ, χορτασίᾳ κοιλίας· ὑποταγὴ μετ' ἐγκρατείας ὑποτάσσει τοὺς δαίμονας». Εἰς τὸ ἀριστερὸν τὸν ἅγιον Ἐφραὶμ γυρισμένον πρὸς τὴν τράπεζαν καὶ λέγοντα· «Τράπεζα ἡ σιωπῶσα καὶ δοξολογοῦσα καὶ αὐτάρκως διοικουμένη ὑπὸ ἁγίων ἀγγέλων εὐφημεῖται· ἡ δὲ μὴ σιωπῶσα, ἀλλ' ἀργολογοῦσα καὶ ἀμέτρως σπαταλῶσα, ὑπὸ δαιμόνων ἀχρειοῦται». Καὶ γύρωθεν τῆς τραπέζης ποίησον καὶ ἄλλους ὁσίους, οἵους βούλει, μὲ ἐπιγράμματα· καὶ εἰς τὸ κάτω μέρος τῆς τραπέζης ποίησον τὸν βίον τοῦ μοναχοῦ (ζήτει σελ. 209) καὶ τὸν μάταιον βίον τῶν ἀνθρώπων (ζήτει σελ. 213). Καὶ ἂν εἶναι μεγάλη ἡ τράπεζα καὶ σταυροειδής, ποίησον καὶ τὴν Ἀποκάλυψιν τοῦ Θεολόγου καὶ ὅ τι ἄλλο θέλεις· ἔξωθεν δὲ τῆς τραπέζης, ἄνωθεν τῆς πύλης, ποίησον τὸν ἅγιον τῆς μονῆς.

Πῶς ἱστορίζεται ἐκκλησία ὁποῦ εἶναι μὲ σταυροθόλιν.

§ 11. Ὅταν θέλῃς νὰ ἱστορήσῃς ἐκκλησίαν, ὁποῦ εἶναι μὲ σταυροθόλιν, ποίησον εἰς τὸ μέσον τὸν Παντοκράτορα καὶ γύρωθεν αὐτοῦ τὰ Τάγματα τῶν Ἀγγέλων, καὶ εἰς τὰς γωνίας τοὺς τέσσαρας Εὐαγγελιστάς· κάτωθεν δὲ εἰς τὰς καμάρας ποίησον Προπάτορας καὶ Προφήτας οἵους θέλεις. Εἰ δὲ εἶναι μεγάλη καὶ ἔχει πέντε κουμπέδες, εἰς τὸν μεσαῖον, τὸν μέγαν, ποίησον τὸν Παντοκράτορα (ὡσὰν καὶ εἰς τὴν τουρλαίαν), εἰς δὲ τοὺς ἄλλους εἰς τὸν ἕνα ποίησον τῆς Μεγάλης Βουλῆς Ἄγγελον, εἰς τὸν ἄλλον τὸν Ἐμμανουήλ, εἰς τὸν ἄλλον τὴν Παναγίαν μετὰ βρέφους, εἰς τὸν ἄλλον τὸν Πρόδρομον καὶ κατωτέρω τοὺς Εὐαγγελιστὰς καὶ τοὺς Προφήτας καὶ Προπάτορας εἰς τὰς καμάρας· εἰς δὲ τοὺς ἴσιους

τοίχους τὰς δεσποτικὰς ἑορτάς, τὰ Ἅγια Πάθη, τὰ θαύματα τοῦ ἁγίου τῆς μονῆς καὶ τὰ λοιπά, ὡς ἄνωθεν ἑρμηνεύσαμεν.

Πῶς ἱστορίζεται κυλιστὴ ἐκκλησία.

§ 12. Ἂν εἶναι κυλιστὴ ἡ ἐκκλησία, ὁποῦ θέλεις νὰ ἱστορήσῃς, ἤγουν βαγενοκαμάρα, ἄνω εἰς τὴν μέσην τῆς καμάρας ποίησον τὸν Παντοκράτορα μέσα εἰς κύκλον, καὶ ἀνατολικὰ ἄνωθεν τοῦ τέμπλου τὴν Παναγίαν, δυσικὰ δὲ τὸν Πρόδρομον. Ἀπὸ δὲ τὴν Παναγίαν ἕως τὸν Χριστὸν καὶ ἀπὸ τὸν Χριστὸν ἕως τὸν Πρόδρομον ποίησον οὐρανὸν καὶ ἐν αὐτῷ πλῆθος ἀγγέλων, καὶ ἀπὸ τὸ ἕνα καὶ ἄλλο μέρος τοῦ οὐρανοῦ ποίησον Προπάτορας καὶ Προφήτας μέσα εἰς πόλους· καὶ κάτωθεν αὐτῶν ποίησον τὴν πρώτην τάξιν τῶν δεσποτικῶν ἑορτῶν καὶ τὰ Ἅγια Πάθη καὶ τὰ μετὰ τὴν Ἀνάστασιν θαύματα, καὶ εἰς τὴν καμάραν τοῦ βήματος τὴν Πλατυτέραν· καὶ κατωτέρω ποίησον τὴν δευτέραν τάξιν ὡς καὶ εἰς τὴν τουρλαίαν· ἔξωθεν δὲ τοῦ βήματος τοὺς Εὐαγγελιστὰς καὶ τὰ θαύματα τοῦ ἁγίου τῆς μονῆς καὶ τὰ λοιπὰ ὡς καὶ εἰς τὴν τουρλαίαν.

Πόθεν παρελάβομεν ἱστορίζειν τὰς εἰκόνας καὶ προσκυνεῖν αὐτάς.

§ 13. Τὸ ἱστορίζειν τὰς ἁγίας εἰκόνας παρελάβομεν οὐ μόνον ἀπὸ τοὺς ἁγίους πατέρας, ἀλλὰ καὶ ἀπὸ τοὺς ἁγίους ἀποστόλους καὶ ἀπ' αὐτὸν λέγω τὸν ἴδιον Χριστὸν τὸν Θεὸν ἡμῶν, καθὼς εἰς τὴν ἀρχὴν τῆς βίβλου ἐδείξαμεν. Ὅθεν τὸν μὲν Χριστὸν ζωγραφίζομεν εἰς τὴν εἰκόνα ὡς ἄνθρωπον, ἐπειδὴ ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη, γενόμενος τέλειος ἄνθρωπος ὡσὰν ἡμᾶς, πλὴν τῆς ἁμαρτίας (Βαρούχ γ'). Ὁμοίως ζωγραφίζομεν καὶ τὸν Ἄναρχον Πατέρα ὡσὰν γέροντα, καθὼς τὸν εἶδεν ὁ Δανιήλ (κεφ. ζ'). Τὸ δὲ Ἅγιον Πνεῦμα ζωγραφίζομεν ὡσὰν περιστεράν, καθὼς ἐφάνη εἰς τὸν Ἰορδάνην (Ματθ. γ'). Ἔτι ζωγραφίζομεν καὶ τὴν εἰκόνα τῆς Παναγίας καὶ ὅλων τῶν ἁγίων, προσκυνοῦντες αὐτὰς σχετικῶς, οὐ λατρευτικῶς, ἤγουν δὲν λέγομεν ὅτι αὐτὸς ὁ ἴδιος εἶναι ὁ Χριστὸς ἢ ἡ Παναγία ἢ ὁ ἅγιος ὁποῦ εἶναι ἱστορισμένος εἰς τὴν εἰκόνα, ἀμὴ ἐκείνην τὴν τιμὴν ὁποῦ κάμνομεν εἰς τὴν εἰκόνα, τὴν ἀναφέρνομεν εἰς τὸ πρωτότυπον,

ἤγουν εἰς ἐκεῖνο ὁποῦ μᾶς δείχνει ἡ εἰκών· διότι ἀνίσως ἐκείνη ἡ εἰκόνα ὁποῦ προσκυνοῦμεν καὶ ἀσπαζόμεθα εἶναι τοῦ Χριστοῦ, τὴν τιμὴν ἐκείνην ὁποῦ κάμνομεν εἰς αὐτήν, εἰς αὐτὸν τὸν Χριστὸν τὴν ἀναφέρνομεν, τὸν υἱὸν τοῦ Θεοῦ, τὸν καθεζόμενον ἐκ δεξιῶν τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς καὶ δι' ἡμᾶς γενόμενον ἄνθρωπον· καὶ βλέποντες αὐτὸν εἰς τὴν εἰκόνα σταυρωμένον εὐθὺς κρίνομεν, ὅτι ἐκατέβη ὁ υἱὸς τοῦ Θεοῦ ἀπὸ τὰ ὕψη τοῦ οὐρανοῦ, καὶ σαρκωθεὶς ἐκ τῆς ἁγίας παρθένου ἀπέθανεν ἀπάνω εἰς τὸν σταυρόν, διὰ νὰ μᾶς ἐλευθερώσῃ ἀπὸ τὰς ἁμαρτίας μας καὶ ἀπὸ τὴν σκλαβίαν τοῦ ἐχθροῦ. καὶ νὰ ἐβγάλῃ τὸν Ἀδὰμ καὶ τοὺς ἐξ Ἀδὰμ ἀπὸ τὸν σκοτεινόμορφον Ἅδην, νὰ τὸν ὑπάγῃ εἰς τὴν πρώτην του πατρίδα. Καὶ δὲν προσκυνοῦμεν τὰ χρώματα καὶ τὴν τέχνην, καθὼς βλασφημοῦν οἱ ἐναντίοι τῆς Ἐκκλησίας μας, οἱ ἄπιστοι καὶ αἱρετικοί, ἀλλὰ προσκυνοῦμεν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ὁποῦ εἶναι εἰς τοὺς οὐρανούς· ἡ γὰρ τιμὴ τῆς εἰκόνος ἐπὶ τὸ πρωτότυπον διαβαίνει, φησὶ Βασίλειος. Βλέποντες πάλιν τὴν εἰκόνα τῆς Παναγίας λογιάζομεν, ὅτι μία γυνὴ παρθένος ἔλαβε τόσην χάριν, ὥστε νὰ γίνῃ μήτηρ αὐτοῦ τοῦ Θεοῦ, πρὸ τόκου παρθένος καὶ ἐν τόκῳ παρθένος καὶ μετὰ τόκον παρθένος μείνασα. Τὸ ὅμοιον λέγομεν καὶ διὰ τὰς εἰκόνας ὅλων τῶν ἁγίων, διότι βλέποντες ἕναν μάρτυρα ζωγραφισμένον εὐθὺς ἐνθυμούμεθα, ὅτι ἐκεῖνος ὁ ἅγιος ἦτον ἄνθρωπος ὡσὰν ἡμᾶς· ὅμως μὲ ὅλον τοῦτο διὰ τῆς ὑπομονῆς του ἐνίκησε τοὺς τυράννους καὶ ἤλεγξε τὴν εἰδωλολατρείαν. τὴν δὲ πίστιν τοῦ Χριστοῦ μὲ τὸ αἷμά του ἐβεβαίωσε. Βλέποντες πάλιν ἕναν ἱεράρχην, νομίζομεν ὅτι αὐτὸς μὲ τὴν ἐνάρετον πολιτείαν του ἔγινε καλὸ παράδειγμα εἰς τὸ ποίμνιόν του καὶ ὡδήγησέ το εἰς νομὰς σωτηρίους. καὶ μὲ τὴν σοφίαν τῶν λόγων του ἀπεδίωξε τοὺς αἱρετικοὺς ἀπὸ τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ. Βλέποντες πάλιν ἕνα ὅσιον, νομίζομεν ὅτι αὐτὸς μὲ τὴν ἄσκησίν του νικήσας τὰς παγίδας τοῦ διαβόλου ἐφύλαξε τὸ σῶμά του καθαρόν, ζήσας ἀγγελικῶς· καὶ ἁπλῶς εἰπεῖν βλέποντες τὸν καθένα ἅγιον εἰς τὴν εἰκόνα ἱστορισμένον, εὐθὺς ἐνθυμούμεθα τὰ ἔργα αὐτοῦ καὶ τὸν προσκυνοῦμεν καὶ τὸν δοξάζομεν, ἀνεβάζοντες τὸν νοῦν μας εἰς τὸ πρωτότυπον, εὐχαριστοῦντες τὸν Θεὸν ὁποῦ τοὺς ἐδυνάμωσε καὶ ἐτέλεσαν τό-

σους ἀγῶνας καὶ ἐστερέωσαν τὴν ὀρθοδοξίαν. Δικαίως λοιπὸν ἱστορίζομεν καὶ προσκυνοῦμεν τὰς ἁγίας εἰκόνας. Ἀναθεματιζέσθωσαν οἱ κατήγοροι καὶ βλάσφημοι.

Περὶ τοῦ χαρακτῆρος τοῦ δεσποτικοῦ προσώπου καὶ σώματος, καθὼς παρέδωκαν οἱ ἀπ' ἀρχῆς αὐτόπται.

Γερμανοῦ Κωνσταντινουπόλεως.

§ 14. Τὸ θεανδρικὸν σῶμα ἐστὶ τρίπηχυ, μικρὸν ἐπικεκυφὸς καὶ τὸ τῆς πραότητος ὑποφαῖνον ἰδίωμα· εὔοφρυ, καὶ τοῦτο συνδεδεμένον· εὐόφθαλμον, εὔρινον, σιτόχροον, οὐλότριχον τὴν κεφαλὴν καὶ ξανθὸν ὀλίγον· μέλαν δὲ τὸ γένειον, καὶ τοὺς δακτύλους δὲ τῶν ἀχράντων χειρῶν μακροτέρους συμμέτρως, καὶ ἁπλῶς ὡς ὁ τῆς τεκούσης χαρακτήρ, ἐξ ἧς ἔμψυχον ἑαυτῷ καὶ τελείαν τὴν ἀνθρωπότητα περιέπλασε.

Περὶ τοῦ χαρακτῆρος τῆς Θεοτόκου.

§ 15. Ἡ δὲ ὑπεραγία Θεοτόκος ἦν τῇ ἡλικίᾳ μέση (ἄλλοι δὲ τρίπηχυν εἶναι καὶ αὐτὴν λέγουσι), σιτόχροος, ξανθόθριξ, ξανθόμματος, εὐόφθαλμος, μακρόφρυς, μεσόῤῥιν, μακρόχειρ, μακροδάκτυλος, εὔστολος, ταπεινή, ἀσχημάτιστος, ἀβλάκευτος, ἱμάτια αὐτόχροα ἀγαπῶσα, καὶ μαρτυρεῖ αὐτῆς τὸ ὠμοφόριον, τὸ ἐπὶ τοῦ ναοῦ αὐτῆς κείμενον.

Πῶς ἱστορίζεται ἡ εὐλογοῦσα χείρ.

§ 16. Ὅταν ποιῇς εὐλογοῦσαν χεῖρα, μὴ σμίγῃς τὰ τρία δάκτυλα ὁμοῦ, ἀλλὰ σμίγε τὸν μεγάλον δάκτυλον μὲ τὸν παράμεσον μόνον· διότι ὁ μὲν ὀρθὸς δάκτυλος, ὁ λεγόμενος λιχανός, καὶ τὸ λίγισμα τοῦ μέσου δακτύλου τὸ ΙΣ ὄνομα σημαδεύουσι, διότι ὁ ὀρθὸς δάκτυλος σημειώνει τὸ Ι, ὁ δὲ κυρτός, ὁποῦ εἶναι πλησίον του, τὸ Σ, ὁ δὲ μεγάλος δάκτυλος καὶ ὁ παράμεσος, ὁποῦ σμίγουν ἀλλήλοις πλαγίως, καὶ τὸ λίγισμα τοῦ μικροῦ δακτύλου, ὁποῦ εἶναι πλησίον, το ΧΣ ὄνομα σημειοῦσι· διότι ἡ πλαγιότης τοῦ μικροῦ δακτύλου, ὁποῦ γίνεται μαζὶ μὲ τὸν παράμεσον, τὸ Χ στοιχεῖον δεικνύει, ὁ δὲ μικρὸς δάκτυλος, ὁποῦ ἔχει τὸ κυρτὸν

σχῆμα, τὸ μετὰ τοῦτο Ϲ̄ σημαδεύει· διὰ τῶν ὁποίων τὸ ΧϹ̄ ὄνομα δείκνυται, καὶ διὰ τοῦτο ἐκ θείας προνοίας ὑπὸ τοῦ δημιουργοῦ τῶν ὅλων οἱ δάκτυλοι τῆς ἀνθρωπίνης παλάμης τοιουτοτρόπως ἐπλάσθησαν καὶ ὄχι περισσότεροι ἢ ὀλιγώτεροι, ἀλλ' ὅσοι εἶναι ἀρκετοὶ νὰ δηλώσουν αὐτὸ τὸ ὄνομα.

Ἐπιγράμματα εἰς τὴν Ἁγίαν Τριάδα.

§ 17. «Ὁ Ἄναρχος Πατήρ. Ὁ Παλαιὸς Ἡμερῶν. Ὁ Συνάναρχος Υἱός. Ὁ Λόγος τοῦ Θεοῦ. Τὸ Ἅγιον Πνεῦμα, τὸ ἐκ πατρὸς ἐκπορευόμενον. Ἡ Ἁγία Τριάς, εἷς Θεὸς τῶν ὅλων». — Εἰς τὸν σταυρόν, ὁποῦ εἶναι εἰς τὰ στέφανα τῶν τριῶν προσώπων, Πατρός, Υἱοῦ καὶ Ἁγίου Πνεύματος, γράφε ταῦτα· Ὁ ὫΝ· οὕτω γὰρ εἶπεν ὁ Θεὸς εἰς τὸν θεόπτην Μωϋσῆν, ὅτε εἶδεν αὐτὸν ἐν τῇ βάτῳ· «Ἐγώ εἰμι ὁ ὤν» (Ἐξόδ. γ', 14). Καὶ γράφε αὐτὰ οὕτως· τὸ μὲν Ο βάλε εἰς τὸ δεξιὸν μέρος τοῦ στεφάνου, τὸ δὲ Ω εἰς τὸ ἄνωθεν μέρος, τὸ δὲ Ν εἰς τὸ ἀριστερόν.

Ἐπιγράμματα εἰς τὴν Ἁγίαν Τριάδα, ὅταν ποιῇς τὸν Πατέρα καὶ τὸν Υἱὸν μὲ χαρτία ἀνοικτά.

§ 18. Εἰς τὸ χαρτὶ τοῦ Πατρός· «Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε. Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου» (Ψαλμ. ρθ', 1, 3).—Εἰς τὸ Εὐαγγέλιον τοῦ Υἱοῦ· «Πάτερ ἅγιε, ἐγώ σε ἐδόξασα ἐπὶ τῆς γῆς καὶ ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις» (Ἰωάν. ιζ', 4, 6). Ἕτερον· «Ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν· ἐγὼ ἐν τῷ πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοί» (Ἰωάν. ι', 30. ιδ', 10).

Τὰ ἐπίθετα ὀνόματα ὁποῦ γράφονται εἰς τὰς εἰκόνας τοῦ Χριστοῦ.

§ 19. ΙϹ̄ ΧϹ̄.—Ὁ Παντοκράτωρ.—Ὁ Ζωοδότης.—Ὁ Σωτὴρ τοῦ κόσμου. — Ὁ Ἐλεήμων. — Ὁ Μεγάλης Βουλῆς Ἄγγελος.—Ὁ Φιλάνθρωπος.—Ὁ Ἐμμανουήλ.—Ὅταν ποιῇς αὐτὸν εἰς τὴν δευτέραν παρουσίαν ἢ εἰς κριτήριον· «Ὁ Δίκαιος Κριτής».— Ὅταν ποιῇς ἀρχιερέα· «Ὁ Βασιλεὺς τῶν Βασιλευόντων καὶ Μέγας Ἀρχιερεύς». — Ὅταν ποιῇς ἐσταυρωμένον· «Ὁ Βασιλεὺς τῆς Δόξης». — Ὅταν βαστάζῃ εἰς τοὺς ὤμους του τὸν σταυρόν· «Ὁ Ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου». — Τὸ Ἅγιον Μανδήλιον. — Τὸ Ἅγιον Κεράμιον.

*

Τὰ ἐπίθετα ὀνόματα ὁποῦ γράφονται εἰς τὰς εἰκόνας τῆς Θεοτόκου.

§ 20. ΜΗΡ ΘΥ.—Ἡ Ἐλεοῦσα.—Ἡ Ὁδηγήτρια.—Ἡ Γοργοϋπήκοος. — Ἡ Κυρία τῶν Ἀγγέλων. — Ἡ Παντάνασσα. — Ἡ Πανάχραντος. — Ἡ Δέσποινα. — Ἡ Ὑψηλοτέρα τῶν Οὐρανῶν.— Ἡ Πλατυτέρα τῶν Οὐρανῶν. — Ἡ Ζωοδόχος Πηγή.—Ἡ Γλυκοφιλοῦσα. — Ἡ Γαλακτοτροφοῦσα. — Ἡ Φοβερὰ Προστασία. — Ἡ Ἁμαρτωλῶν Σωτηρία. — Ἡ Παραμυθία τῶν Θλιβομένων. — Ἡ Πάντων Χαρά [1].

Ἐπιγράμματα εἰς τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ κατὰ τόπον.

§ 21. Εἰς τὸν Παντοκράτορα· «Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου· ὁ ἀκολουθῶν ἐμοὶ οὐ μὴ περιπατήσει ἐν τῇ σκοτίᾳ, ἀλλ' ἕξει τὸ:» (Ἰωάν. η', 12). — Εἰς τὸν Σωτῆρα τοῦ Κόσμου· «Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς:» (Ματθ. ια', 29). — Εἰς τὸν Ζωοδότην· «Ἐγώ εἰμι ὁ ἄρτος ὁ ζῶν, ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς· ἐάν τις φάγῃ ἐκ τούτου τοῦ ἄρτου, ζήσεται:» (Ἰωάν. ς'. 51). — Εἰς τὸν Μεγάλης Βουλῆς Ἄγγελον· «Ἐγὼ ἐκ τοῦ Θεοῦ ἐξῆλθον καὶ ἥκω· οὐδὲ γὰρ ἀπ' ἐμαυτοῦ ἐλήλυθα, ἀλλ' ἐκεῖνός με ἀπέστειλεν» (Ἰωάν. η', 42). — Εἰς τὸν Ἐμμανουήλ· «Πνεῦμα Κυρίου ἐπ' ἐμέ, οὗ ἕνεκεν ἔχρισέ με· εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με» Λουκᾶ δ' 18). — Ὅταν ποιῇς Ἀρχιερέα· «Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός· ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων» (Ἰωάν. ι', 11). — Ὅταν εἰς τὴν Σύναξιν τῶν Ἀσωμάτων· «Ἐθεώρουν τὸν Σατανᾶν ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ πεπτωκότα» (Λουκ. ι', 18). — Ὅταν εἰς Προφήτας· «Ὁ δεχόμενος προφήτην εἰς ὄνομα προφήτου μι:» (Ματθ. ι', 41). — Ὅταν εἰς Ἀποστόλους· «Ἰδοὺ δίδωμι ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων» (Λουκ. ι', 19).—Ὅταν εἰς Ἱεράρχας· «Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου· οὐ δύναται πόλις» κτλ. (Ματθ. ε', 14).— Ὅταν εἰς Μάρτυρας· «Ὅστις ὁμολογήσει ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ ἐν:» (Ματθ. ι'. 32). — Ὅταν εἰς Ὁσίους· «Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι

[1] Προσθήκη μεταγενεστέρα· «Ἡ Πορταΐτισσα».

κἀγὼ ἀναπαύσω ὑμᾶς» (Ματθ. ια'. 28).—Ὅταν εἰς Ἀναργύρους· «Ἀσθενοῦντας θεραπεύετε, λεπροὺς καθαρίζετε» (Ματθ. ι'. 8).—Ὅταν εἰς θύραν· «Ἐγώ εἰμι ἡ θύρα· δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται» (Ἰωάν. ι'. 9). —Ὅταν εἰς κοιμητήριον· «Ὁ πιστεύων εἰς ἐμέ, κἂν ἀποθάνῃ, ζήσεται» (Ἰωάν. ια'. 25).

Ἐπιγράμματα εἰς τὰ χαρτία ὁποῦ βαστοῦν εἰς τὸ Θεοτοκίον, τὸ λεγόμενον Ῥόδον.

§ 22. Εἰς τὸ χαρτὶ τοῦ Μιχαήλ· «Ὄρθρος φαεινός, χαῖρε ἡ μόνη τὸν»: — Εἰς τοῦ Γαβριήλ· «Στάχυν ἡ βλαστήσασα τὸν θεῖον». — Εἰς τὸ χαρτὶ ὁποῦ βαστοῦν οἱ δύο ὁμοῦ· «Ῥόδον τὸ ἀμάραντον, χαῖρε ἡ μόνη βλαστήσασα».

Εἰς τὰ χαρτία ὁποῦ βαστάζουν ἡ Θεοτόκος καὶ ὁ Πρόδρομος, ὅταν ποιῆς αὐτοὺς εἰς τρίμορφον.

§ 23. Εἰς τὸ χαρτὶ τῆς Παναγίας·

Ἄναρχε Υἱὲ καὶ Θεοῦ ζῶντος Λόγε,
Πατρὸς ὁ ἐκφὺς ῥεύσεως, Σῶτερ, δίχα,
αὐτῷ τε συνών, ἐξ ἐμοῦ δ' ἐπ' ἐσχάτων
χρόνων σαρκωθεὶς ὑπὲρ νοῦν σπορᾶς ἄνευ,
τῆς κλήσεως τὰς ἁμαρτίας ἆρες
καὶ μητρικὰς πλήρωσον ἱκετηρίας.

Εἰς τὸ χαρτὶ τοῦ Προδρόμου.

Κἀγὼ συνᾴδω, Δέσποτα, τῇ μητρί σου
φωνῇ φιλικῇ προδρομικῇ σου, Λόγε.
Οὓς ἠγόρασας αἵματι σῷ τιμίῳ,
σταυρῷ κρεμασθεὶς καὶ σφαγεὶς ἀνευθύνως,
τούτοις καταλλάγηθι δωρεὰν πάλιν,
εὔσπλαγχνε Λόγε, ἐκ φιλανθρώπου τρόπου.

Εἰς τοῦ Προδρόμου μόνου.

«Μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν» (Ματθ. γ'. 2).

Εἰς τὰ Εὐαγγέλια ὁποῦ βαστοῦν οἱ Ἱεράρχαι.

«Εἶπεν ὁ Κύριος· ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας» (Ἰωάν. ι', 1). — «Εἶπεν ὁ Κύριος· οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμ»: (Ματθ. ε', 16).

Ἐπιγράμματα εἰς τὰς ἑορτὰς ὁποῦ ἱστορίζονται εἰς τὸν τέμπλον.

§ 24. Ὁ Εὐαγγελισμὸς τῆς Θεοτόκου. — Ἡ Γέννησις τοῦ Χριστοῦ.—Ἡ Ὑπαπαντή.—Ἡ Βάπτισις.—Ἡ Μεταμόρφωσις.—Ἡ Ἔγερσις τοῦ Λαζάρου. — Ἡ Βαϊοφόρος. — Ἡ Σταύρωσις τοῦ Χριστοῦ.—Ἡ Ἀποκαθήλωσις.—Ὁ Ἐπιτάφιος Θρῆνος.—Ἡ Ἀνάστασις τοῦ Χριστοῦ. — Ἡ Ψηλάφησις τοῦ Θωμᾶ. — Ἡ Ἀνάληψις.—Ἡ Κάθοδος τοῦ Ἁγίου Πνεύματος.—Ἡ Κοίμησις τῆς Θεοτόκου.

Πρόσσχες πάντοτε νὰ βάνῃς τὴν Σταύρωσιν εἰς τὸ μέσον τῶν ἄνωθεν ἑορτῶν, εἰς τὸν τέμπλον· εἰ δὲ καὶ εἶναι ὁ τέμπλος μεγάλος καὶ θέλεις νὰ βάλῃς καὶ ἄλλας ἑορτάς, γύρισε καὶ ζήτει εἰς τὰ θαύματα τοῦ Χριστοῦ καὶ εἰς τὰ πάθη καὶ εἰς τὰ μετὰ τὴν ἀνάστασιν ἔργα τοῦ Κυρίου, καὶ εὑρήσεις ὅ τι θέλεις.

Ἕτερα ἐπιγράμματα εἰς τὰς θεομητορικὰς ἑορτὰς καὶ τῶν ἁγίων.

§ 25. Ἡ Σύλληψις τῆς Θεοτόκου. — Ἡ Γέννησις τῆς Θεοτόκου καὶ Τὰ Εἰσόδια τῆς Θεοτόκου. — Τὰ Ἐννέα Τάγματα τῶν Ἀγγέλων. —Ἡ Σύναξις τῶν Ἀσωμάτων.—Ἡ Σύναξις τῶν ιβ' Ἀποστόλων. — Οἱ Ἅγιοι Πάντες.

Στίχοι εἰς τὴν Ζωοδόχον Πηγὴν καὶ εἰς τὴν Ὁδηγήτριαν.

Ὦ ἁγνὴ μῆτερ τοῦ θεανθρώπου Λόγου,
πηγὴ θείου ὕδατος τοῦ ἀθανάτου,
ἔμπλησον τὸν δοῦλόν σου τῶν σῶν ναμάτων,
ὅπως ἰσχύσας εἰκονίσω ἀξίως
καὶ μεγαλύνω τὴν ἄφατόν σου χάριν,
εἴπερ ὑπάρχεις οὐρανῶν πλατυτέρα
καὶ τῶν ἁγίων ἀγγέλων ὑπερτέρα
καὶ ἐμοῦ λέγω τοῦ ταπεινοῦ μητέρα
καὶ σκέπη ἄκρα ὁμοῦ καὶ προστασία
καὶ ὁδηγία θεία τε καὶ σοφία.

Στίχοι εἰς τὴν Κυρίαν τῶν Ἀγγέλων.

Πανευλαβῶς ὁρῶσιν οἱ θεῖοι νόες
τὸ σεπτὸν εἶδος τῆς σὲ τεκούσης, Λόγε·
ἀλλ' ἐκπλήττονται θέαν ὁρῶντες ξένην,
πῶς σε τὸν Θεὸν ἐν ταῖς ἀγκάλαις φέρει·
εἰ γὰρ ἄγγελοι τοῦτο φρίττουσι θαῦμα,
πῶς τῶν βροτῶν ἅπασα φύσις οὐ φρίξει;

Εἰς τὴν Γλυκοφιλοῦσαν.

Φιλεῖς ἀπαύστως χερσὶ περιλαβοῦσα
τὸν σὲ χειρὶ κρατοῦντα, Κυρία κόσμου·
ὃν ἐκδυσώπει ὑπὲρ τῶν σὲ ὑμνούντων
καὶ Θεοτόκον πιστῶς ὁμολογούντων.

Ὁ πρὶν τὸ χαῖρε τῇ παρθένῳ μηνύσας
τὰ σύμβολα νῦν τοῦ πάθους προδεικνύει·
Χριστὸς δὲ θνητὴν σάρκα ἐνδεδυμένος,
πότμον δεδοικώς, δειλιᾷ ταῦτα βλέπων.

Στίχοι ὅταν ἱστορίζωμεν τὸν Μιχαὴλ εἰς πύλην ναοῦ.

Βροτοὶ βλέποντες τὸ ξίφος τεταμένον,
ὅσοι βέβηλοι καὶ ῥᾴθυμοι τὸν τρόπον,
ἢ συσταλεῖτε πρὸς μετάνοιαν τάχει,
εἰ δὲ μὴ προσψαύητε τῇ θείᾳ πύλῃ·
ἐγὼ γὰρ ὁ πρὶν τῆς παλαιᾶς προστάτης
ἐτάχθην ταύτης τῆς νέας Ἐδὲμ φύλαξ.

Ὅταν τὸν ἱστορίζωμεν καβαλλάρην.

Ἐφ' ἵππον ὁρᾶτέ με οἱ προσιόντες
δίστομον κατέχοντα χειρὶ ῥομφαίαν·
στίφη βαρβάρων ἐκδιώκω καὶ πλήττω·
ἐμοῦ δὲ ναοῦ ὑπάρχει Θεὸς μέγας·
τί δεινὸν αὐτῷ ὅστις βουληθῇ πρᾶξαι,
πατάξω τοῦτον τῇ ῥομφαίᾳ ἐν τάχει.

Εἰς τὸν ἀπόστολον Πέτρον.

Τὰς κλεῖς ἔχων σου τῶν ἀνακτόρων, Λόγε,
θαῤῥῶν ἀνοίγω πᾶσι τοῖς δεομένοις.

Εἰς τὸν ἀσπασμὸν Πέτρου καὶ Παύλου.

Ποθῶν ὁ Πέτρος τὴν σεβασμίαν θέαν
τοῦ συμμαθητοῦ πρὸς συνάντησιν τρέχει.
Ἰδὼν ὁ Παῦλος ὅνπερ ἐπόθει λίαν,
χεῖρας ἐκτείνας δεξιοῦται τὸν φίλον.

Εἰς τοὺς ἁγίους Θεοδώρους.

Στεφθέντες ἄμφω πρὸς Θεοῦ θείῳ στέφει
δῶρα φέρετε πιστοῖς εἰς θυμηδίαν.

Εἰς τὸν ἅγιον Ἀντώνιον.

Ἀντώνιε πάνσοφε, κλέος ἀζύγων,
φρούρει με καὶ δίωκε βέλη δαιμόνων.

Εἰς τὸν ὅσιον Ἐφραίμ.

Ἐκ γῆς ἀναπτὰς καὶ ἀνελθὼν πρὸς πόλον
Ἐφραὶμ παρέστη τῷ ἄνακτι τῶν ὅλων·
τούτου προσευχαῖς ἀμπλακημάτων λύσιν,
Σῶτερ, βράβευσον ἱκέταις σου ἀθλίοις.

⟨ΠΡΟΣΘΗΚΑΙ ΜΕΤΑΓΕΝΕΣΤΕΡΑΙ ΕΝ ΤΩ ΚΩΔΙΚΙ⟩.

Στίχοι πολιτικοὶ ὁμοιοκατάληκτοι εἰς τὴν εἰκόνα τοῦ Χριστοῦ.

Μνήσθητι, Δέσποτα, κἀμοῦ, ὅταν ἔλθῃς ἐν κρίσει
καὶ σύνταξόν με τὸν οἰκτρὸν τῇ δεξιᾷ σου στάσει·
ἐν τέλει με παράλαβε θεοφιλεῖ καὶ δίδου
ἁμαρτιῶν τὴν ἄφεσιν Νικηφόρου σοῦ θύτου.

Στίχοι συντομώτεροι εἰς τὴν αὐτήν.

Μνήσθητι, Δέσποτα, κἀμοῦ Νικηφόρου σοῦ θύτου
καὶ ἄφεσιν ὧν ἔπραξα ἁμαρτιῶν μοι δίδου.

Στίχοι πολιτικοὶ ὁμοιοκατάληκτοι εἰς τὴν Γλυκοφιλοῦσαν.

Θεογεννῆτορ Μαριάμ, ἡ τὸν Θεὸν φιλοῦσα,
τὸν σὸν υἱὸν καὶ κύριον εὐίλατον ποιοῦσα,
ἁμαρτιῶν συγχώρησιν δωρήσασθαι δυσώπει
ἐμοὶ τῷ ἀλιτήμονι Νικηφόρῳ τῷ θύτῃ.

Ἰδοὺ καὶ συντομώτεροι εἰς τὴν αὐτήν.

Γλυκοφιλοῦσα Μαριάμ, τὸν σὸν υἱὸν δυσώπει
πταισμάτων δοῦναι λύσιν μοι Νικηφόρῳ τῷ θύτῃ.

Ὁρῶντες, ὦ ἄνθρωποι, τὴν σπάθην ταύτην
φρίξατε τὸν θάνατον καὶ πέρας βίου
καὶ πρὸς οἶκτον κάμφθητε καὶ φόβον θεῖον,
ἵνα τύχητε τῆς ἄνω κληρουχίας.

Βλέψον, ἱερεῦ, τὸν θυόμενον ἄρτον·
οὗτος φλόξ ἐστιν οὐχ ὥς ποτε ἐν βάτῳ,
ἀλλὰ φλὸξ φλογός· φλογίνη γὰρ ῥομφαία
φλέγει τολμῶντα ἐσθίειν ἀκαθάρτως.

Ὑπὲρ λόγον τὸ θαῦμα, παρθένος κύει·
ὑπὲρ λόγον τὸ πρᾶγμα, πλὴν Θεὸν κύει·
τουτ' αὐτὸ καινόν, εἰ Θεὸν βρέφος βλέπεις·
τοῦτ' αὐτὸ καινόν, εἰ φιλάνθρωπον βλέπεις.



ΠΗΓΑΙ

ΤΗΣ ΕΡΜΗΝΕΙΑΣ

ΔΙΟΝΥΣΙΟΥ ΤΟΥ ΕΞ ΑΓΡΑΦΩΝ.

ΕΡΜΗΝΕΙΑ

ΤΗΣ ΖΩΓΡΑΦΙΚΗΣ ΤΕΧΝΗΣ,

περιέχουσα τά τε μέτρα καὶ χρώματα τοῦ Πανσελήνου, ὁμοίως καὶ τοῦ νατουράλε καὶ τὰ σαρκώματα τοῦ Θεοφάνους καὶ ἄλλα τινὰ χρησιμεύοντα εἰς τὴν αὐτὴν τέχνην. Καὶ πρῶτον λεκτέον

Περὶ τῶν μέτρων τοῦ Πανσελήνου.

§ 1. Ὅταν θέλης, ὦ μαθητά, νὰ σχεδιάσῃς, πρῶτον διαίρεσον τὸν τόπον εἰς μέτρα ἑπτά, ἤγουν κεφάλαια ἑπτά, καὶ τὸ μὲν πρῶτον διαίρεσον εἰς τέσσαρα μέρη· τὸ ἕνα ποίησον τὰ μαλλία, τὸ ἄλλο τὸ μέτωπον, τὸ ἕτερον μύτην καὶ τὸ ἄλλο τὸ πηγούνι, καὶ ἔπαρε τὸ ἥμισυ μέτρον τῆς μύτης καὶ ποίησον τὸν ἕνα ὀφθαλμὸν εἰς τὸ μεγαλήτερον μέρος τοῦ προσώπου, τὴν δὲ κόρην τοῦ ὀφθαλμοῦ ποίησον οὐχὶ εἰς τὴν μέσην τοῦ ὀφθαλμοῦ, ἀμὴ ὀλίγον παρέκει κατὰ τὸ μέρος τοῦ ὠτίου. Ἔπαρε δὲ μέτρον ὅση εἶναι ἡ μύτη μὲ τὸν διαβήτην, ἤγουν πιργέλιον· ἔπειτα βάλε τὸ ἕνα μέρος τοῦ διαβήτου εἰς τὴν κόρην τοῦ μεγάλου ὀφθαλμοῦ καὶ μέτρησον ἕως τὸ ἄλλο μέρος τοῦ προσώπου καὶ ποίησον τὴν ἄλλην κόρην, καὶ οὕτω γύρισον καὶ τὸν ἄλλον ὀφθαλμὸν τοῦ ὀλιγωτέρου μέρους· πλὴν ποίησον αὐτὸν ὀλίγον στρογγυλώτερον καὶ μικρότερον ἀπὸ τὸν ἄλλον καὶ ὀλίγον χαμηλότερον. Καὶ ἀπὸ τὸ τέλος τοῦ μεγάλου ὀφθαλμοῦ ἕως τὸ ὠτίον θέλει ἕνα μεγάλον ὀφθαλμόν, καὶ πάλιν ἀπ' ἐκεῖ ἕως τὸ ἔξω τῶν μαλλίων ἑνάμισυν ὀφθαλμόν· ἀπὸ δὲ τὴν ἄκραν τοῦ μικροῦ ὀφθαλμοῦ ὡς τὸ ἄλλο ὠτίον θέλει μισὸν μεγάλον ὀφθαλμὸν καὶ ὀλίγον τι, καὶ πάλιν ἀπ' ἐκεῖ ἕως τὴν ἄκραν τῶν μαλλίων ἄλλον ἕνα μεγάλον ὀφθαλμόν. Τὴν δὲ μύτην ποίησον ἴσια μὲ τὸ ἐπάνω μέρος τῶν ὀμματοκλάδων· ποίησον δὲ καὶ τὰ ὀφρύδια καμαρωτά, ἀρχίζοντας αὐτὰ ἀπὸ τὴν μύτην. Τὰ δὲ ὠτία νὰ εἶναι ἕνα ἀπὸ τὸ ἄλλο μικρότερον καὶ ὀλίγον ἄνωθεν τῶν ρωθώνων τῆς ῥινός· ἀπὸ δὲ τὴν μύτην ἕως τὸ πηγούνι μέτρησον μέτρα τρία, καὶ εἰς τὸ ἓν μέτρον καὶ ἀκόμη σιμώτερον εἰς τὴν μύτην ποίησον τὸ στόμα, τὰ δὲ ἄλλα δύο ἄφες διὰ τὸν πώγωνα· ποίησον δὲ καὶ τὸν λαιμὸν μιᾶς μύτης μέτρον ἕως εἰς τὰ χωρίσματα τοῦ λάρυγγος. Καὶ ταῦτα μὲν περὶ τοῦ προσώπου τοῦ Χριστοῦ καὶ τῶν λοιπῶν ἁγίων, τῶν ὁμοίων αὐτοῦ εἰς τὸ εἶδος. Περὶ δὲ τῆς Παναγίας γίνωσκε πῶς ὅταν στέκεται ἴσια καὶ γυρίζει ὀλίγον (ἥτις λέγεται Ὁδηγήτρια), ἀπὸ τοῦ ῥώθωνος τῆς μύτης τὸ πλάγιον ἕως τὸ ὠτίον θέλει μίαν μύτην, καὶ ὅσον εἶναι ἀπὸ τὸ τέλος τοῦ μεγάλου ὀφθαλμοῦ ἕως εἰς τὴν μέσην τοῦ ἐπάνου μέρους τῆς μύτης, τόσον πάλιν νὰ εἶναι ἀπὸ τὴν μέσην τοῦ ἐπάνω μέρους τῆς μύτης ἕως τὴν ἄκρην τοῦ ὀλιγωτέρου μέρους τοῦ προσώπου· καὶ πάλιν ἀπὸ τοῦ ἄνω μέρους τῆς μύτης τὸ πλάγιον τοῦ μεγαλητέρου μέρους τοῦ προσώπου ἕως τὴν ἄκραν

τῆς κουκούλας δύο μύτες, ἀπὸ δὲ τὸ ὀλιγώτερον μέρος ἕως τὴν ἄλλην ἄκραν τῆς κουκούλας μίαν μύτην καὶ ὀλίγον τι. Περὶ δὲ τῆς βλεπούσης πλαγίως ἀπὸ τὴν ἄκραν τοῦ ῥώθωνος τῆς μύτης ἕως τὸ ὠτίον μίαν μύτην καὶ ὀλίγον τι· ἀπ' ἐκεῖ δὲ πάλιν ἕως τὴν ἄκραν τῆς κουκούλας μίαν μύτην· ἀπὸ δὲ τὴν κορυφὴν τῆς κουκούλας ἕως τὰ ὀμμάτια δύο μύτες· ἀπὸ τὴν κόρην τοῦ μεγάλου ὀφθαλμοῦ ἕως τὴν ἄκραν τοῦ ὀλίγου μέρους τοῦ προσώπου μίαν μύτην. Καὶ ἀπὸ τὰ ὄμματα ἕως τὸν πώγωνα δύο μύτες, ἀπὸ δὲ τὴν μύτην ἕως τὸ πηγούνι αὐτῆς μέτρα τρία, καὶ εἰς τὸ ἓν ποίησον τὸ στόμα, τὰ δὲ ἄλλα δύο ποίησον τὸ χεῖλος καὶ τὸν πώγωνα. Τοῦ δὲ βρέφους αὐτῆς τὴν κεφαλὴν ποίησον ἥμισυ πρόσωπον τῆς Παναγίας, καὶ ἀπὸ τὴν κορυφὴν αὐτοῦ ἕως τὰ ὄμματα μύτες τρεῖς· ἀπὸ δὲ τὰ ὄμματα ἕως τὸ πηγούνι μύτες δύο, διότι τοῦ βρέφους τὰ μέτρα διαφέρουν μὲ τὸ νὰ εἶναι ἡ μύτη αὐτοῦ μικροτέρα καὶ παχυτέρα κατὰ τὸ μέτρον ἀπὸ τὲς ἄλλες μύτες τῶν ἁγίων. Ἀπὸ δὲ τὴν κόρην τοῦ μεγάλου ὀφθαλμοῦ ἕως τὴν ἀρχὴν τοῦ ὠτίου μίαν μύτην, καὶ ἀπὸ τὴν ἀρχὴν τοῦ μικροτέρου ὀφθαλμοῦ ἕως τὴν ἀρχὴν τοῦ ἄλλου ὠτίου μίαν μύτην, τὰ δὲ μαλλία ἄνωθεν τῶν ὠτίων. Καὶ ταῦτα μὲν περὶ τοῦ ἔμπροσθεν βλέποντος βρέφους· τὸ δὲ βλέπον πλαγίως θέλει ἀπὸ τὸ τέλος τοῦ ὀφθαλμοῦ ἕως τὴν ἀρχὴν τοῦ ὠτίου μίαν μύτην, καὶ τὰ μαλλία αὐτοῦ κάτωθεν τῶν ὠτίων. Ὁμοίως καὶ τῶν ἄλλων ἁγίων τῶν νέων τὰ μέτρα εἶναι ὡσὰν καὶ τῆς Παναγίας, τὰ δὲ μαλλία αὐτῶν ποίησον μίαν μύτην καὶ τὸ μέτωπον αὐτῶν μίαν μύτην· εἰς δὲ τὸ πλάτος τοῦ μὲν ἁγίου Γεωργίου τὰ μαλλία ποίησον ὡσὰν τοῦ Χριστοῦ καὶ κάτωθεν τῶν ὠτίων ὁμοίως καὶ τῶν ἄλλων ὁμοίων αὐτῷ ἁγίων· τοῦ δὲ ἁγίου Δημητρίου ἄνωθεν τῶν ὠτίων καὶ ὀλίγον στενώτερα, ὅταν κατ' εὐθεῖαν βλέπῃ· ὅτε δὲ πλαγίως, ποίησον αὐτὰ κάτωθεν τῶν ὠτίων. Καὶ ταῦτα περὶ τῶν νέων. Τῶν γερόντων δὲ τῶν μὲν φαλακρῶν νὰ εἶναι τὸ ἐπάνω μέρος ὀλίγον περισσότερον ἀπὸ δύο μύτες καὶ ἡ μύτη αὐτῶν πλατυτέρα ἀπὸ τῶν νέων καὶ μακρυτέρα ἀπὸ τὲς κόρες, τὰ δὲ ἄλλα μέτρα ὅμοια τῶν ἄλλων ἁγίων. Καὶ ταῦτα μὲν περὶ τῶν κατ' εὐθὺ βλεπόντων· τῶν δὲ πλαγίων ἀπὸ τὸ τέλος τοῦ μεγάλου ὀφθαλμοῦ ἕως τοῦ ὠτίου εἶναι μία μύτη εἰς τὸ ἄνω μέρος, εἰς δὲ τὸ κάτωθεν ἀπὸ τὸ τέλος τοῦ ὠτίου ἕως τὸ ρουθούνι δύο μεγάλα ὀμμάτια· ἀπὸ δὲ τὴν ἀρχὴν τοῦ μεγάλου ὀφθαλμοῦ ἕως τὸ τέλος τοῦ ὀλιγωτέρου μέρους τοῦ προσώπου εἶναι μία μύτη, τὰ δὲ ὠτία πάντων τῶν ἁγίων θέλουν νὰ εἶναι εἰς τὸ μεγάλωμα μία μύτη. Τὰ δὲ λοιπὰ μέρη τῶν σωμάτων αὐτῶν μετροῦνται οὕτως· ὅταν ποιήσῃς τὴν κεφαλήν, ποίησον καὶ τὸν λαιμὸν μίαν μύτην· εἰς δὲ τὸ δεύτερον μέτρον ποίησον τὸ τέλος τοῦ στήθους, εἰς τὸ τρίτον τὴν μέσην καὶ νὰ εἶναι εἰς τὸ χόντρωμα αὐτῆς ἕνα μέτρον· εἰς τὸ τέταρτον μέτρον ποίησον τὸ τέλος τῆς κοιλίας, εἰς τὸ πέμπτον καὶ μισὸν τὰ γόνατα, εἰς τὸ ἕβδομον τὸν ἀστράγαλον. Ἀπὸ τὸν ἀστράγαλον ἕως τὰ ὀνύχια τῶν ποδῶν τρεῖς μύτες, καὶ πάλιν ἀπὸ τὸ πλάγιον τοῦ τέλους τοῦ λαιμοῦ ἕως τὸ τέλος τοῦ ὤμου ἓν μέτρον, ἀπὸ δὲ τοῦ ὤμου ἕως τὸν ἄγκωνα ἓν μέτρον, καὶ ἀπὸ τοῦ ἄγκωνος ἕως τὴν φόλισιν τῆς χειρὸς ἓν μέτρον, ἀπ' ἐκεῖ δὲ πάλιν ἕως τὴν ἄκραν τῶν δακτύλων τρεῖς μύτες. Ταῦτα μὲν περὶ τῶν ὀρθῶν ἱσταμένων. Τοὺς δὲ καθημένους ἐπὶ θρόνων μετὰ Εὐαγγελίου ποίει μέτρα ἓξ καὶ τὰ γόνατα αὐτῶν εἰς τέσσαρα ἥμισυ μέτρα, τὸ δὲ ἓν ἥμισυ ἕως τὸν ἀστράγαλον· τοὺς δὲ καθημένους καὶ γράφοντας ποίησον μετρα πέντε, ποιῶν εἰς τὰ τρία ἥμισυ τὰ γόνατα, τὰ δὲ λοιπὰ ὡς καὶ τὰ πρῶτα. Τοὺς δὲ ἐφ' ἵππων καθημένους ποίησον μέτρα ἕξ, καὶ τοὺς ἵππους αὐτῶν ὁμοίως ἀπὸ τῆς κεφαλῆς μέχρι τοῦ ὀπισθίου γόνατος· καὶ πρῶτον ποίησον τὴν κεφαλὴν μέτρον ἕν, εἰς δὲ τὰ δύο τὸν λαιμὸν καὶ εἰς τὰ τρία τὸν ἔμπροσθεν πόδα, εἰς δὲ τὰ τέσσαρα ἥμισυ τὸ τέλος τῆς κοιλίας καὶ εἰς τὸ ἕκτον τὸ ὄπισθεν τὸ γόνυ· ἀπὸ δὲ τοῦ γόνατος τοῦ ὀπισθίου ποδὸς ἕως τὸν ὄνυχα μέτρον ἕν, τοῦ δὲ ἔμπροσθεν ποδὸς ἀπὸ τὸν γόφον ἕως τὸ ὀνύχι ἀπὸ τὰ δύο μέτρα ὀλίγον τι μικρότερον· τοὺς δὲ ἡμίσεις ποίει μετρα τρία Ὅταν δὲ ποιήσῃς Θεοτόκιον, ποίησον τὴν κορυφὴν τῆς κεφαλῆς τοῦ βρέφους ἴσα ὑποκάτωθεν τῆς μύτης τῆς Παναγίας, το δὲ κορμίον αὐτοῦ ποίησον μέτρα τέσσαρα

ἥμισυ ἕως τὸν ἀστράγαλον τοῦ ἔμπροσθεν ποδός, καὶ ἀπὸ τὴν πατοῦναν ἕως τὸ γόνυ αὐτοῦ νὰ εἶναι ἓν μέτρον, ὁμοίως καὶ εἰς τὸν ἄλλον πόδα. Οὕτω λοιπὸν μετροῦνται τὰ μέτρα τοῦ Πανσελήνου. Καὶ ταῦτα μὲν ὡς ἐν συντόμῳ ἡρμήνευσά σοι· σὺ δὲ ὦ φιλόπονε μαθητά, ἐὰν ἦς φιλομαθής, κατὰ τὸ σοφὸν λόγιον ἔσῃ καὶ πολυμαθής· καὶ εἰ μὲν ποθεῖς νὰ καταλάβῃς πλέον καλλίτερα, ἐρεύνησον καὶ εὑρὲ διδάσκαλον νὰ σὲ τὰ διδάξῃ καὶ διὰ ζώσης φωνῆς· εἰ δὲ καὶ δὲν εὕρῃς, ὕπαγε εἰς τὰς παρὰ τοῦ Πανσελήνου ἱστορηθείσας ἐκκλησίας, ἔχοντας δὲ καὶ τὰς παρ' ἐμοῦ ἑρμηνείας θέλεις τὰ καταλάβει μὲ κόπον.

Περὶ κατασκευῆς κονδυλίων.

§ 2. Ὅταν θέλῃς, ὦ μαθητά, νὰ κάμῃς κονδύλια τῆς ζωγραφικῆς, χρεία εἶναι οὐρὲς νὰ εὕρῃς ἀπὸ σιντζάπια καὶ νὰ μὴν βάνῃς ἀπὸ τὲς κορυφὲς μόνον ἀπὸ τὰ πλάγια· καὶ βλέπε νὰ εἶναι αἱ τρίχες ὀρθές, ἴσιες, νὰ μὴ στραβώνουν, διὰ νὰ γίνωνται καλὰ τὰ κονδύλια ἀνοικτάρια, καὶ κόπτε τες μὲ μικρὸν ψαλίδιον καὶ βάνε αὐτὰς ἐπάνω εἰς ἓν σανίδιον χωριστὰ ἀπὸ ὀλίγες. Ἔπειτα ἕνωσον αὐτὰς ἐπιμελῶς καὶ βρέξον αὐτὰς εἰς τὸ νερόν, καὶ οὕτω πλάκωνε τὲς μύτες αὐτῶν μὲ τὸ ὀνύχιον τῆς ἀριστερᾶς σου χειρός, καὶ μὲ τὴν δεξιάν σου τράβηξε τὸ ἄλλο μέρος αὐτῶν καὶ ἔβγανε ἀπὸ ὀλίγες ὀλίγες καὶ ἴσαξέ τες ἐπιμελῶς, καὶ δέσε τες ἐπιδέξια μὲ μπρισίμι κηρωμένον, καὶ στοχάζου νὰ μὴν τὸ δέσῃς μακρὺ τὸ κονδύλιον. Καὶ τὸ πτερὸν ὁποῦ θέλεις νὰ τὸ βανῃς μέσα, νὰ μὴν εἶναι στραβὸν καὶ νὰ τὸ βάνῃς προτήτερα εἰς νερὸν νὰ μουσκεύῃ, καὶ νὰ μὴν ἐβγαίνῃ πολὺ τὸ κονδύλιον ἀπὸ τὸ πτερόν, ὅτι δὲν προκόπτει· τὰς δὲ κορυφὰς τῶν οὐρῶν σύναξον εἰς τὸ νὰ κάμῃς μεγάλα κονδύλια διὰ νὰ προπλάθῃς.

Περὶ κατασκευῆς κόλλας.

§ 3. Ὅταν θέλῃς, ὦ μαθητά, νὰ κάμῃς κόλλαν, ποίησον οὕτως. Ἔπαρε πετζία ὁποῦ νὰ εἶναι ἐργασμένα εἰς ἀσβέστην, καὶ βάλε τα εἰς χλίον νερὸν νὰ μουσκεύσουν καλά, καὶ οὕτω πλῦνον αὐτὰ καὶ καθάρισον αὐτὰ ἀπὸ τὸ κρέας καὶ τὴν λέραν ὁποῦ ἔχουν, καὶ βάλε τα μὲ καθαρὸν νερὸν νὰ βράσουν εἰς χάλκωμα. Ὅμως πρόσεχε ὡσὰν βράσουν καὶ ἀρχίζουν νὰ πήξουν, στράγγισον αὐτὰ μὲ κνησάραν τρίχινην ἢ μὲ πανίον, διότι τζικνώνουν, καὶ οὕτω βάλε νερὸν καὶ δεύτερον καὶ τρίτον καὶ στράγγιζέ τα ἕως νὰ λυώσουν τελείως. Καὶ ἐὰν δὲν εὕρῃς ἐργασμένα, ἔπαρε ἀνέργαστα ἀπὸ ποδάρια καὶ ὠτία βῳδίων καὶ ὅσα δὲν κάμνουν εἰς ἄλλην ὑπηρεσίαν, διὰ νὰ τὰ ἀγοράζῃς φθηνότερα· καὶ ἐὰν εἶναι χονδρά, ἂς εἶναι καὶ βουβαλινά· εἶναι καλλίτερα. Καὶ βάλε τα νὰ μουσκεύσουν καὶ αὐτά· εἶτα βάλε τα νὰ πάρουν δύο τρεῖς βράσες, καὶ ἐβγάνοντάς τα καθάρισέ τα καλά, ἕως ὁποῦ νὰ μὴν ἀφήσῃς κρέας ἢ ξύγγι ὁλοτελῶς, ὅτι δὲν προκόπτει ἡ κόλλα· ἔπειτα κόψε τα μὲ σκεπάρνιον ἐπάνω εἰς σανίδιον καὶ μὴν τὰ χωρίζῃς τελείως, ἀμὴ ἄφες τα νὰ κρατῶνται ἕνα ἀπὸ τὸ ἄλλον διὰ νὰ βράζουν ὀγρήγορα, διότι τὰ ἀνέργαστα ἀργοῦν νὰ ἀναλύσουν, ἀμὴ ἡ κόλλα γίνεται δυνατωτέρα ἀπὸ τὴν ἄλλην· καὶ στράγγισον αὐτὰ μὲ πανίον διὰ νὰ ἀπομένουν αἱ τρίχες εἰς τὸ πανί. Καὶ ἂν θέλῃς νὰ ξηράνῃς τὴν κόλλαν, βάλε την ὕστερα μοναχὴν μὲ ὀλίγην φωτίαν νὰ βράσῃ ἕως νὰ πήξῃ· ὅμως πρόσεχε καλά, ὅτι φουσκώνει πολλὰ καὶ χύνεται· διὰ τοῦτο νὰ εἶσαι παρὼν ὅταν βράζῃ, καὶ ὁπόταν φουσκώνῃ πολλά, χύσε ὀλίγον νερὸν μέσα ἢ φύσησέ την μὲ καλάμι, καὶ οὕτω παύει ὁ φουσκωμός. Καὶ ἀφοῦ πήξῃ, ἔβγαλέ την νὰ κρυώσῃ· εἶτα κόψον αὐτὴν εἰς λεπτὰ κομμάτια διὰ νὰ στεγνώσῃ ὀγρήγορα βάνοντάς την εἰς τὸν ἀέρα, καὶ νὰ εἶναι ψύχρα ὁ καιρὸς καὶ ὁ ἥλιος νὰ μὴν τὴν βλέπῃ, καὶ νὰ τὴν κατασκευάσῃς τὸν χειμῶνα, ὅτι τὸ καλοκαίρι χαλᾷ.

Περὶ κατασκευῆς γύψου.

§ 4. Ἐὰν θέλῃς, ὦ μαθητά, νὰ καύσῃς γύψον καὶ νὰ χύσῃς, ποίησον οὕτω. Πρῶτον διάλεξον αὐτὸν ἐπιμελῶς, τζακίζοντάς τον μὲ τὸ σφυρὶ εἰς λεπτὰ κομμάτια· καὶ

στοχάζου νὰ βάνῃς τὸν ἄσπρον καὶ γυαλιστερόν· ἔπειτα καῦσον τὸν φοῦρνον ἕως νὰ κοκκινίσῃ καὶ τότε ἔκβαλε τὰ κάρβουνα καὶ σκούπισέ τον καλὰ μὲ ἕνα κλαδί· καὶ βλέπε νὰ μὴν ἀργήσῃς καὶ κρυώσῃ ὁ φοῦρνος, καὶ ρίψε τον μέσα παρευθὺς καὶ καπάκωσέ τον, καὶ ἔχοντας λάσπην ἑτοιμασμένην χρῖσον αὐτὸν ἐπιμελῶς· ὅμως νὰ ἔχῃς ἔννοιαν νὰ μὴ ξεσπάσῃ ἀπὸ κανένα μέρος ὁ φοῦρνος ἕως ὁποῦ νὰ ξηρανθῇ ἡ λάσπη καλά, ὅτι ἐξεθυμαίνει· διὰ τοῦτο πρόσεχε νὰ τὸν κλείσῃς ἐπιτήδεια. Εἶτα μετὰ τρίτην ἡμέραν ἔκβαλε αὐτόν, καὶ εἰ μὲν εἶναι ψημένος, εἶναι καλός· εἰ δὲ καὶ δὲν εἶναι πάλιν τόσον ψημένος, δὲν βλάπτει, μόνον πῶς ἔχει εἰς τὸ τρίψιμον περισσότερον κόπον· ἐκβαλὼν δὲ αὐτὸν ἀπὸ τὸν φοῦρνον τρῖψον εἰς μάρμαρον καὶ σίτησον μὲ σίταν ψιλήν; τὰ δὲ ἀποσιτίσματα τρίβοντας ἐκ δευτέρου σίτισον πάλιν αὐτά, ἕως ὁποῦ νὰ γένῃ ψιλὸς πολλά· ὅμως ἀφοῦ τὸν τρίψῃς νὰ τὸν χύσῃς τὸ ὀγληγορώτερον, ὅτι ἂν ἀργήσῃς, δὲν προκόπτει. Πῶς δὲ νὰ τὸν χύσῃς πρόσεχε· χλίανε νερὸν εἰς χάλκωμα, ἔχε δὲ καὶ ἄλλον . . . χλίον καὶ κρύον ἕτοιμον διὰ νὰ μὴ σοῦ λείπῃ νερόν· καὶ εἰς ἐκεῖνο δὲ ὁποῦ θέλεις νὰ βάλῃς τὸν γύψον, οὔτε κρύον νὰ εἶναι, οὔτε καυστόν, ἀλλὰ χλιαρόν, καὶ βάνοντας τὰς χεῖράς σου ἀνακάτωνε τὸ νερὸν ὁλόγυρα τοῦ χαλκώματος, διὰ νὰ μὴν κολλήσῃ ὁ γύψος, καὶ ἄλλος νὰ σοῦ χύνῃ ἀπὸ ὀλίγον γύψον, καὶ ὅσον ἠμπορεῖς νὰ τὸν ἀναλύῃς καὶ νὰ μὴν ἀπομείνῃ κομμάτια οὔτε μεγάλα οὔτε μικρὰ ὁλότελα, ὅτι ὕστερον γίνονται ὡσὰν πέτρες καὶ δὲν τρίβονται. Καὶ πρόσεχε νὰ μὴ βάλῃς πολὺ γύψον εἰς μικρὸν χάλκωμα, διότι δὲν παίρνει πολὺ νερὸν καὶ γίνεται ὁ γύψος ὡσὰν πέτρα καὶ κολλᾷ εἰς τὸ χάλκωμα, καὶ μὴν ἠμπορῶντας νὰ τὸν ἐβγάλῃς χαλᾷ τὸ χάλκωμα· ἀμὴ ἐκεῖνο ὁποῦ νὰ παίρνῃ πενήντα ὀκάδες νερὸν νὰ βάνῃς εἴκοσι ὀκάδες γύψον ἢ καὶ ὀλιγώτερον· μόνον ἀπὸ τὸ περισσότερον νὰ ἀπέχῃς. Ὅρα οὖν καλῶς νὰ βάνῃς πάντοτε ὀλίγον γύψον εἰς μεγάλο χάλκωμα διὰ νὰ χωρῇ πολὺ νερὸν καὶ οὕτω γίνεται καλός· ὕστερον δὲ ἄφες τον ἢ μίαν ἢ δύο ἡμέρας, καὶ οὕτω καθαρίζοντας ὁ γύψος ἀπὸ ὀλίγον ὀλίγον χύνε καὶ ἐσὺ τὸ νερὸν ὀλίγον ὀλίγον, ἕως ὁποῦ νὰ μείνῃ καὶ κάτωθεν ὁ γύψος πηκτός, καὶ οὕτω ἀφίνεις τον καὶ στεγνώνει καμπόσον. Εἶτα ἐβγάζοντάς τον ἁπλώνεις τον εἰς σανίδια καὶ στεγνώνει τελείως· εἰ δὲ καὶ ἔχεις βίαν, βάλε τον εἰς σακκὶ ἀραιὸν καὶ στραγγίζει ὀγρήγορα, καὶ οὕτως ἁπλώνοντάς τον εἰς σανίδια, ὡς προείρηται, στεγνώνει· εἰ δὲ καὶ πάλιν καὶ ἔχεις περισσοτέραν βίαν καὶ θέλεις νὰ στραγγίσῃ ὀγρηγορώτερα, βάλε τον εἰς τὸν φοῦρνον καὶ δὲν βλάπτεται.

Περὶ πῶς νὰ γυψώνῃς εἰκόνας.

§ 5. Ὅταν θέλῃς νὰ γυψώσῃς εἰκόνας, τζάκισε τὴν κόλλαν εἰς λεπτὰ κομμάτια καὶ βάλε την ἀφ' ἑσπέρας εἰς τζουκάλιον ἢ εἰς ἄλλον ἀγγεῖον νὰ μουσκεύσῃ ἕως ταχύ, καὶ τότε βάλε την νὰ βράσῃ καὶ ἀνακάτωνέ την μὲ ἕνα ξύλον νὰ ἀναλύσῃ· ἔπειτα ἔβγαλε καμπόσην κόλλαν ἀπ' αὐτὴν ὅσον νὰ σὲ φθάσῃ, καὶ ἔπαρε τὰς εἰκόνας ὁποῦ ἔχεις καὶ βάλε νερὸν νὰ ἀχαμνίσῃ ἡ κόλλα, καὶ πέρασέ τες ἕνα χέρι λεπτόν. Ὅμως βλέπε νὰ ἀφήσῃς νὰ γυαλίζῃ εἰς τὰς εἰκόνας ἡ κόλλα, οὐδὲ νὰ ἀφήσῃς νὰ γίνωνται φουσκαλίδες διὰ νὰ τὴν πίνῃ, καὶ ἂν εἶναι ἥλιος ἔβγαλέ τες εἰς τὸν ἥλιον εἰς τὸ πρῶτον χέρι διὰ νὰ ποτίζουνται, ὕστερον δὲ νὰ μὴν τὲς ἐβγάλῃς πλέον εἰς τὸν ἥλιον νὰ στεγνώσουν αἱ εἰκόνες, καὶ ἀνακάτωσον γύψον μὲ τὴν καλὴν κόλλαν ὅσον θέλεις νὰ σοῦ φθάσῃ νὰ τελειώσῃς πέντε ἢ ἓξ χέρια, ὡσὰν θέλεις νὰ τὲς περάσῃς. Δοκίμασον δὲ πρῶτον εἰς μικρὸν σανίδιον, καὶ εἰ μὲν εἶναι ἀψύς, βάλε γύψον καὶ ζεστὸν νερὸν νὰ ἁπαλύνῃ, εἰ δὲ καὶ εἶναι ἁπαλός, βάλε κόλλαν δυνατὴν νὰ ἔλθῃ εἰς τὴν στάσιν του, καὶ οὕτω πέρασε τὲς εἰκόνες δύο τρία χέρια, καὶ εἰς τὸ τέταρτον βάλε ὀλίγον πεζίρι καὶ ὀλίγον σαπούνι, ἢ μὴ βάλῃς σαπούνι ὁλότελα, καὶ οὕτω πέρασέ τες ἄλλα δύο τρία χέρια καὶ παίρνει τέλος. Πρόσεχε δὲ νὰ μὴν βιασθῇς καὶ βάλῃς χοντρὸν τὸν γύψον διὰ νὰ γυψώσῃς ὀγλήγορα, διότι ὅταν θέλῃς νὰ τὸν ξύσῃς χωρίζει τὸ πρῶτον χέρι ἀπὸ τὸ

δεύτερον καὶ δὲν γίνεται ἴσια ἡ εἰκών, διὰ τοῦτο γύψωνε λεπτότερα καὶ ἂς γίνεται καὶ περισσότερα χέρια, ὅτι οὕτω γίνεται καλὸν γύψωμα. Ὅταν δὲ εἶναι καλοκαίρι καὶ ἔχεις φόβον νὰ μὴν κάμῃ τρύπες ὁ γύψος, ποίησον τὴν κόλλαν δυνατὴν καὶ οὕτω στράγγισον καὶ βάλε την εἰς τόπον ψυχρὸν νὰ στέκῃ, καὶ ὅταν θέλῃς νὰ γυψώσῃς ἀνακάτωνε ὀλίγην κόλλαν, ὅση λογιάζεις πῶς νὰ σὲ φθάσῃ νὰ περάσῃς ἕνα χέρι, καὶ οὕτω γυψώνεις. Πάλιν, ὅταν θέλῃς νὰ περάσῃς δεύτερον χέρι, ξανακατώνεις ἄλλην κόλλαν καὶ δεύτερον γυψώνεις καὶ εἰς τὸ ἄλλο χέρι πάλιν ἄλλην καὶ εἶτα ἄλλην, ἕως ὁποῦ νὰ λάβῃ τέλος, καὶ οὕτω δὲν κάμνει τρύπες, διότι, ἂν ἀφήσῃς τὴν κόλλαν μαζὺ μὲ τὸν γύψον πολλὴν ὥραν, χαλᾷ.

Περὶ τοῦ πῶς νὰ σηκώνῃς στεφάνια εἰς τὰς εἰκόνας.

§ 6. Ὅταν θέλῃς νὰ σχεδιάσῃς τὴν εἰκόνα, γύρισον τὸν στέφανον μὲ τὸν διαβήτην, ἤγουν πριέλιον, καὶ ποίησον γύψον εἰς τὴν στάσιν τοῦ πρώτου ὁποῦ ἐγύψωσες τὴν εἰκόνα, καὶ κατασκεύασον ῥάμμα βαθὺ παμπακένιον καὶ μὴν τὸ στρήψῃς πολλά, καὶ βούτησον αὐτὸ μέσα εἰς τὸν γύψον διὰ νὰ γεμίσῃ ὅλον γύψον, καὶ βάλε το γύρωθεν τοῦ στεφάνου ἐπάνω εἰς τὰς γραμμὰς τοῦ διαβήτου, καὶ ὡσὰν στεγνώσῃ πέρασον ἔσωθεν δύο ἢ τρία χέρια γύψον νὰ σηκωθῇ ὀλίγον τὸ στεφάνι· εἶτα σχεδίασον εἴ τι πλουμίον θέλεις καὶ τὸ κονδύλιον μὲ τὴν γύψον βάλε καὶ εἰς τὰ λουλούδια καὶ εἰς τὰ ῥάμματα δύο καὶ τρεῖς φορὲς μὲ τὸ κονδύλιον διὰ νὰ σηκωθοῦν, καὶ ξύσον ἐπιμελῶς καὶ χρύσωσον, καὶ ἀναμέσον τῶν λουλουδίων κέντησον αὐτὸ μὲ ψιλὸν κόκκαλον.

Ἕτερον ὅμοιον.

§ 7. Εἰ θέλεις, ὡσὰν στεγνώσουν τὰ ῥάμματα καὶ σηκώσῃς τὸ στεφάνιον ὀλίγον ἀπὸ μέσα, ποίησον πηκτὸν γύψον καὶ βάλε τον χοντρὸν ὅσον σοῦ κάμει χρεία· εἶτα ἄλειψον χρυσοχάρτια μὲ μπεζίρι καὶ βάλε ἐπάνω εἰς τὸν γύψον καὶ τύπωσον αὐτὸ καὶ εἰς τὸν τοῖχον, ἐβγάζοντας τὰ χαρτία, καὶ γίνεται πολλὰ καλόν.

Περὶ τοῦ πῶς νὰ γυψώνῃς τέμπλον.

§ 8. Ὅταν θέλῃς, ὦ μαθητά, νὰ γυψώσῃς τέμπλον, ἐὰν εἶναι ὁ τέμπλος ἀκάρφωτος καὶ μετὰ τὸ χρύσωμα θέλουν νὰ τὸν καρφώσουν, κατέβασον αὐτὸν κάτω, καὶ εἰ μὲν εἶναι καλοκαίρι καὶ σοῦ βολεῖ ὁ τόπος, ἔβγαλέ τον εἰς τὸν ἥλιον νὰ πυρώσουν τὰ σανίδια ὀλίγον· ἔχοντας δὲ ἀπὸ πρότερον βρασμένην κόλλαν, ἔβγαλε ἀπ' αὐτὴν ὅσην ἀπεικάζεις ὁποῦ νὰ σὲ φθάσῃ νὰ περάσῃς ἕνα χέρι ὅλον τὸ τέμπλον (μόνον νὰ βάλῃς νερόν, νὰ ἀχαμνίσῃ), καὶ βάλε την μέσα εἰς χάλκωμα· καὶ παίρνοντας τὰ σανίδια τοῦ τέμπλου βάλε τα ἐπάνω εἰς τὸ στόμα τοῦ χαλκώματος, καὶ παίρνοντας μὲ ἕνα μασούρι ἀπὸ τὴν ἀχαμνὴν κόλλαν χύνε ἐπάνω εἰς τὰ σκαλίσματα ὅσον κρατεῖ τὸ χάλκωμα νὰ γεμίζουν τὰ σκάμματα ἕως εἰς τὴν κορυφήν. Καὶ ἐὰν θέλῃς ἔπαιρνε καὶ μίαν βούρτζαν καὶ τρῖβε τὰ σκαλίσματα διὰ νὰ ποτισθοῦν καλά, ἔπειτα γύριζέ τα διὰ νὰ στραγγίζῃ ἡ κόλλα ὀπίσω εἰς τὸ χάλκωμα· οὕτω κάμε το ἀπὸ ὀλίγον ἀπὸ μίαν ἄκρην ἕως τὴν ἄλλην, καὶ ἂν κρυώσῃ ἡ κόλλα στοχάζου νὰ τὴν ζεστάνῃς καὶ δεύτερον καὶ τρίτον καὶ πολλάκις διὰ νὰ μὴν πήζῃ καὶ παίρνουν πολλὴν κόλλαν τὰ σκαλίσματα καὶ κάμνουν φουσκαλίδες· καὶ ἂν εἶναι μεγάλα τὰ σανίδια, ἂς τὰ γυρίζουν ἕνας ἢ δύο καὶ ἄλλος ἂς ἔχῃ τὴν κόλλαν καὶ ἂς τὰ τρίβῃ καὶ μὲ τὴν βούρτζαν, καὶ ἂς τὰ ἐβγάλουν πάλιν εἰς τὸν ἥλιον νὰ στεγνώσουν, καὶ ἂν γένῃ καμμία φουσκαλίδα, χάλασέ την μὲ τὸ μαχαίριον. Ὅμως βλέπε ἀπὸ τὴν ἀρχὴν νὰ δοκιμάσῃς εἰς μικρὸν σανίδιον τὴν κόλλαν νὰ μὴ γένῃ δυνατὴ καὶ γυαλίζῃ ὅταν στεγνώσῃ, διότι σκάζει ὁ γύψος ὁποῦ θέλεις νὰ τὰ γυψώσῃς, μόνον νὰ τὴν πίνουν τὰ σανίδια καὶ οὕτω γίνεται καλόν. Ἔπειτα κάμε πάλιν

γύψον εἰς τὸ αὐτὸ χάλκωμα νερουλόν, διὰ νὰ τὸν χύνῃς μὲ τὰ μουσούρια, νὰ γεμίζουν τὰ σκαλίσματα καὶ νὰ τὰ γυρίζῃς νὰ στραγγίζουν, ὥσπερ ἔκαμες πρότερον τὴν κόλλαν· καὶ δοκίμασον πρῶτον εἰς μικρὸν σανίδιον, ἤγουν γύψωσον, καὶ ἄφες αὐτὸ νὰ στεγνώσῃ, καὶ εἰ μὲν εἶναι εἰς τὴν στάσιν του καλῶς, γύψωσον καὶ τα ἄλλα· εἰ δὲ εἶναι ἁπαλος ἢ ἀψύς, συγκέρασον αὐτὸν (ὡς προεγράφη ἀνωτέρω) καὶ πέρασέ τα ὅλα ἕνα χέρι, καὶ στοχάζου νὰ εἶναι ζεστός, νὰ μὴ παγώνῃ ἀνάμεσα εἰς τὰ σκαλίσματα καὶ δὲν στραγγίζει καὶ ἰσιάζουν τὰ σκαλίσματα. Εἰ δέ καὶ εἶναι ζεστὸς καὶ δὲν στραγγίζει καλά, βάλε ὀλίγον νερὸν ζεστόν· εἰ δὲ πάλιν εἶναι πολὺ νερουλος καὶ δὲν ψιχιάζει να τελειώσῃ μὲ δύο τρία χέρια τὸ γύψωμα, συγκέρασον πάλιν αὐτόν μὲ γύψον καὶ κόλλαν, καὶ οὕτω γύψωνε καὶ ἄφινέ τον νὰ στεγνώσῃ καλὰ καὶ τότε νὰ βάνῃς ἄλλο χέρι· καὶ ἂν δεν εἶναι ἄψυς ὁ ἥλιος πολλά, μόνον εἶναι ὀλίγον ψυχρός, ἔβγαλέ τα εἰς τὸ πρῶτον και δεύτερον χέρι καὶ πλέον οὐχί, καὶ νὰ μὴν ἐβγάζῃς εὐθὺς ὅ τι τὸ περάσῃς, μόνον να τον ἀφίνῃς νὰ πήξῃ καλὰ εἰς τὸν ἴσκιον, διατί ἂν τὸ ἐβγάλῃς εὐθύς, τρέχει ἀπο τὰς κορυφὰς τῶν λουλουδίων καὶ μαζώνεται μέσα εἰς τὰ σκαλίσματα καὶ δὲν προκόπτει. Εἰς δὲ τὸ τρίτον ἢ τέταρτον χέρι, ὁποῦ ἐκατάλαβες πῶς θέλει νὰ λάβῃ τέλος, στοχάσου ἂν εἶναι ὁ γύψος μὲ τὴν κόλλαν καὶ με το νερον μαζὺ ἕως δεκαπέντε ὀκάδες, βάλε το ε' δράμια σαπούνι καὶ ἓν μπεζίρι, καὶ οὕτω γύψωνε· ὅμως τὸ σαπούνι πρῶτον νὰ τὸ ἀναλύσῃς μὲ ζεστὸν νερὸν καὶ οὕτω νά τὸ βάλῃς μέσα εἰς τὸν γύψον, να τὸ ἀνακατωσῃς, καὶ ἂν κάμῃ τρύπες, κάμε το ὡς ἐγράφη ἄνωθεν, καί γίνεται τόσον ἴσιος, ὥστε ὁποῦ δεν θέλει νὰ τον ξύσῃς ὁλότελα. Εἰ δὲ καὶ εἶναι χειμών, ἄναψε φωτίαν μεγάλην μέσα εἰς μεγάλον ὀσπίτιον καὶ γύψωνέ τα διὰ νὰ μὴν παγώνῃ ὁ γύψος καὶ δεν στραγγίζῃ, διὰ νὰ πίνῃ καὶ τὸ σανίδι τὴν κόλλαν. Οὕτω λοιπὸν γυψώνονται τα ἀκάρφωτα τέμπλα. Ὅταν δὲ θέλῃς νὰ τὰ χρυσώσῃς, ἔπαρον και τρῖψον ὤχραν Πολίτικην δράμια εἴκοσι, καὶ βάλε δύο ἢ τρία δράμια σαπούνι καὶ ἐνάμισυ δράμι πετζόκολλαν, καὶ πέρασε ἕνα χέρι· ἔπειτα κατασκεύασον τὸ κόκκινον ἀμπόλι ἢ το ἕτερον, καὶ πρόσεχε να μὴν πηγαίνῃ πηκτόν, διότι τρώγεται εἰς το στίλβωμα, καὶ εἰ μὲν εἶναι τὰ σκαλίσματα ῥηχά, στρῶσον ἐπάνω τὸ μάλαγμα καὶ κτύπα το μὲ τὸ κόκκαλον νὰ κολλήσῃ καλὰ εις τὰς κορυφὰς τῶν λουλουδίων, καὶ χύνε ῥακὶ μέσα εἰς τὰ σκαλίσματα, νὰ πλεονάζῃ, καὶ οὕτω μὲ στόχασιν γύριζέ τὸ ἐλαφρα νὰ ποτισθοῦν τὰ λουλούδια, διά νὰ χυθῇ καὶ τὸ ῥακὶ ἔξω, καὶ ἂν μείνῃ κανένα λουλούδιον ἀπότιστον, πότισον αὐτὸ με γιμπρικάκι γυάλινον ἢ με τὸ κονδύλιον, καὶ πάτησέ το μὲ βαμβάκι διὰ νὰ στρώσῃ το μάλαγμα, καὶ στῆσέ το ὀρθὸν νὰ στεγνώσῃ καὶ ὕστερον στίλβωσέ το· τὰ δὲ βαθέα σκαλίσματα καὶ στρογγυλὰ ξύλα, ὁποῦ δεν ἠμποροῦν νὰ ποτισθοῦν, πρῶτον βρέξον αὐτὰ μὲ ῥακὶ με σφογγάριον ἢ μὲ βαμβάκι, καὶ οὕτω σήκωνε το φύλλον μὲ ὅλον το χαρτί, ἐγγίζοντας το πρῶτον εἰς τας τέσσαρας γωνίας μὲ το κονδύλιον ὁποῦ ποτίζεις, δια να μὴν πίπτῃ ὀγλήγορα καὶ νὰ μὴν μαζώνεται τὸ μάλαγμα, καὶ βάλε το εἰς τον βρεμένον τόπον να κολλήσῃ, καὶ οὕτω σηκώνοντας ἐπιδέξια το χαρτὶ ἀπομένει τὸ μάλαγμα κολλημένον ἐπανω εἰς τὸν γύψον, καὶ παίρνοντας ἕνα πτερον σχίαζε τὸ μάλαγμα ἐκεῖνο ὁποῦ δεν κάθηται εἰς τον τόπον του, καὶ μὲ γιμπρικακι ἢ μὲ κονδύλιον πότισέ το καλὰ καὶ μπάλωσον καὶ στίλβωσον ὡς ἑρμηνεύθης ἀνωτέρω.

Περὶ τοῦ γυψώνειν τέμπλον καρφωμένον.

§ 9. Εἰ δε καὶ εἶναι το τέμπλον καρφωμένον, κάμνει χρεία νὰ κατασκευάσῃς σκάλαν καὶ νὰ ἀρχίσῃς ἀπὸ τὰ ψηλότερα, καὶ γύψωσον αὐτο ὡς ἑρμηνεύσαμεν σοι εἰς τας εἰκόνας ἀπαραλλάκτως, περνῶντάς το μὲ τὴν βούρτζαν πεντὲξ χέρια, και ἀφοῦ στεγνωσῃ ἴσασέ το με το μιστρὶ καλῶς εἰς τὰς κορυφὰς τῶν λουλουδίων· εἶτα κατασκεύασον τὴν ὤχραν, ὡς προεγράφη ἀνώτερα· εἰ δε καὶ θέλεις, ποίησον ὡς ἕνα τῶν ἄνω Ταῦτα σοι γράφω, ὅτι ἐμπείρου διδασκάλου ἑρμηνεία εἶναι καὶ αὕτη· λαβε Πολί-

τικην ὤχραν, καὶ τρίβοντάς την βάλε καὶ ὀλίγην κόλλαν καὶ κρόκον ὀλίγον, καὶ πέρασε ὅσον θέλεις νὰ χρυσώσῃς· μετὰ ταῦτα δὲ βάλε το κόκκινον ἀμπόλι εἰς τὰς 4κορυφὰ τῶν λουλουδίων, καὶ παίρνοντας ῥακὶ μὲ σφογγάριον ἢ μὲ βούρτζαν ἁπαλὴν ἀπὸ ζιντζάπια ἢ μὲ βαμβάκι βρέχε τὸν ἀμπολαρισμένον τόπον, καὶ εὐθὺς παίρνοντας το μάλαγμα βάνε το εἰς τὸν βρεγμένον τόπον, ἔχοντάς το πρότερον καμωμένον κομμάτια, και μπάλωσον καὶ στίλβωσον αὐτὸ ἐπιμελῶς· εἶτα βάλε καὶ τὰς βαφὰς μέσα εἰς τὰ σκαλίσματα με πετζόκολλα, καὶ οὕτω ποίει ἕως τέλος.

Περὶ κοκκίνου ἀμπόλι.

§ 10. Λάβε κιλερμενὶ δράμια δέκα ὀκτὼ καὶ ὤχραν δράμια δύο καὶ ἥμισυ δράμι κόκκινον μολύβι καὶ ἥμισυ δράμι ἀλειμματοκέρι, καῦσον δὲ καὶ ἕνα φύλλον χαρτὶ καὶ βάλε το μέσα καὶ τρῖψέ τα ὅλα ὁμοῦ δυνατὰ εἰς μάρμαρον, καὶ ἀμπόλαρε καὶ χρύσωνε μὲ τὸ ῥακί.

Περὶ ἑτέρου ἀμπόλι.

§ 11. Ἔπαρε ὤχραν Πολίτικην καὶ βόλον ἀπὸ τὸν καλόν, ὁποῦ δὲν εἶναι κόκκινος πολλὰ καὶ ἔχει ἀνάμεσά του ἄσπρες φλέβες, καὶ δοκίμασον αὐτὸν οὕτως. Ἐὰν εἶναι αἱ φλέβες του ἁπαλὲς καὶ δὲν εἶναι ὡσὰν πέτρες, εἶναι καλός· εἰ δὲ καὶ εἶναι χῶμα ἢ πέτρες, εἶναι ἀγαμνός, καὶ βάλε ἀπ' αὐτὸν ἴσον τῆς ὤχρας εἰς μάρμαρον· εἰ δε θέλεις πάλιν, μὴ βάλῃς ὤχραν παντελῶς καὶ τρῖψον αὐτον καλῶς· καὶ εἰ θέλεις βάλε πολλὰ ὀλίγον σαπούνι, εἰ δὲ καὶ δὲν θέλεις, μὴ βάλῃς παντελῶς, καὶ ἀμπόλαρε τον τοπον ὁποῦ μέλλεις νὰ χρυσώσῃς λεπτῶς δύω [illegible] καὶ οὕτω χρύσωνε μὲ το ῥακί· καὶ στιλβώνοντας, ἀνίσως καὶ τρώγεται [illegible] εἰς κανένα τόπον, στάξε κανένα κόμπον κόλλα εἰς το ῥακί.

Περὶ ἑτέρου ἀμπόλι.

§ 12. Ἔπαρε κιλερμενὶ δραμια ὀκτω καὶ ὑδράργυρον δράμι ἓν καὶ ξύγκι τοῦ προβάτου δράμι ἕνα, λάμπεζι ἤγουν κόκκινο μολύβι δράμι ἕνα ἢ δύο, κιννάβαρι δραμι ἓν. χολὴν δράμι ἕν, ὤχραν Πολίτικην δράμια πέντε καὶ ὀλίγον ἀσπράδι τοῦ αὐγοῦ, καὶ ἀνακατώνοντάς τα ὅλα αὐτα τρῖψέ τα καλῶς, εἶτα δοκίμασε καὶ δούλευε ἀνεμποδίστως, καὶ ἀμπόλαρε ὡσὰν καὶ εἰς τὰς ἀνωτέρω ἄλλας δύο ἑρμηνείας ἐδηλώσαμέν σοι.

Περὶ προπλασμάτου Πανσελήνου.

§ 13. Βαλε ψιμμύθιον δράμια ἓν καὶ ὤχρα δράμια ἓν καὶ πρασίνι ὁποῦ δουλεύουν εἰς τὸν τοῖχον δράμι ἓν καὶ μαῦρον τέγκι ἕνα, καὶ τρῖψον αὐτα ὅλα ὁμοῦ εἰς μάρμαρον. καὶ συνάξας αὐτὰ εἰς καλαμάριον πρόπλαθε εἴ τι θέλεις να σαρκώσῃς. Ἔπειτα ἕνωσον μαῦρο καὶ ὀξὺ καὶ ἄνοιγε αὐτὰ πρῶτον λεπτὰ καὶ ὕστερον δυνάμωνέ τα, εἰς δε τας κόρρας καὶ δύναμες τῶν ὀμματίων καὶ ὀφρυδίων καὶ ῥωθώνων βάλε ἁγνὸν μαῦρο.

Περὶ τῶν ἀνοιγμάτων ὀμματοφρυδίων ἄλλων, ὅσα θέλουν νὰ σαρκωθοῦν εἰς τὰς εἰκόνας.

§ 14. Ἔπαρε οὔμβραν καὶ βόλον καὶ ἀνακάτωσον αὐτὰ καὶ εἰς μάρμαρον τρῖψον καλῶς, καὶ συνάξας αὐτὰ ἄνοιγε εἴ τι θέλεις, καὶ εἰς τὰς δυνάμεις δυνάμωνέ το με μόνην οὔμβραν, εἰς δὲ τὰς κόρας καὶ ῥώθωνας βάνε μαῦρο. Οὕτω εἶναι τοῦ Πανσελήνου τα ἀνοίγματα.

Περὶ τοῦ πῶς ποιῆσαι σάρκα τοῦ Πανσελήνου.

τῆς εἰκόνος πρὸς τὸ πρωτότυπον διαβαίνει, οὕτω καὶ τὸ ἐναντίον. Ταύτην δὲ τὴν μικράν μου καὶ ταπεινὴν νουθεσίαν καὶ παραγγελίαν, ὦ φιλότης, ἐν ἀγάπῃ ἐνθέῳ καὶ εἰλικρινεῖ φιλαδελφίᾳ ποιούμενος, φοβούμενος τὸ κρῖμα, διότι καὶ ἐγὼ ηὗρα εἰς πολλοὺς τόπους, ὅπου τινὲς τῶν ζωγράφων εἶχαν ἐκβαλμένα ἀνθίβολα, οἵτινες, οὐκ οἶδ' ὅπως εἴτε ἀμαθίᾳ εἴτε ἀνευλαβείᾳ καὶ ἀφοβίᾳ κρίματος φερόμενοι, δεν ἔπλυναν παρευθὺς τὰς εἰκόνας, ἀμὴ τὰς ἄφησαν οὕτω μαυρισμένας· τὰς ὁποίας παντοιοτρόπως ἠθέλησα νὰ τὲς πλύνω καὶ νὰ τὲς καθαρίσω καὶ δὲν ἐδυνήθην. Εἰ δὲ καὶ ἡ εἰκὼν, ὁποῦ θέλεις νὰ ἐκβάλῃς ἀνθίβολον, τύχῃ καὶ εἶναι παλαιὰ καὶ δὲν φαίνονται αἱ κονδυλίαι, ἢ εἶναι ὁ γύψος σεσαπρωμένος καὶ φοβεῖσαι νὰ τὴν πλύνῃς, διὰ νὰ μὴν χαλάσῃ ποίησον οὕτω· πρῶτον μπάλωσον αὐτὴν, εἶτα βερνίκιασον καὶ οὕτως ἔκβαλε τὸ ἀνθίβολον καὶ μετὰ ταῦτα πλῦνον αὐτὴν καλῶς καὶ ἐπιμελῶς κατὰ τὴν προγραφεῖσάν σοι ἑρμηνείαν. Ἰδοὺ τοίνυν σὺν Θεῷ τὰ ὅσα ἐδυνήθην ἀφθόνως ἑρμήνευσά σοι καὶ φιλαλήθως· σὺ δέ, ὦ ἀγαπητέ, πρόσεχε καλῶς μὴ φειδόμενος κόπου πόνου τε καὶ ἱδρῶτος, ἀλλὰ μεθ' ὅσης πλείστης ἐπιμελείας, πόθου δὲ καὶ προθυμίας νὰ ἐκπαιδευθῇς καὶ νὰ μάθῃς αὐτὴν τὴν τέχνην ἐντελέστατα· διότι αὐτὸ τὸ ἔργον εἶναι θεῖον, ἢ καὶ μᾶλλον εἰπεῖν θεοπαράδοτον. Καὶ τοῦτο εἶναι πασίδηλον καὶ ἀπὸ ἄλλα πολλά, ἐξαιρέτως δὲ ἀπὸ τὴν ἀχειροποίητον καὶ σεβασμίαν εἰκόνα, ὁποῦ αὐτὸς ὁ θεάνθρωπος Ἰησοῦς Χριστὸς ἐκμάξας τὸ πανάγιον αὐτοῦ πρόσωπον ἀπέστειλε πρὸς τὸν ἐν Ἐδέσσῃ Αὔγαρον τὸ ἐν τῷ ἁγίῳ μανδηλίῳ θεῖον αὐτοῦ ἐκτύπωμα· ἀλλ' ὅτι καὶ τῇ ὑπεράγνῳ μητρὶ αὐτοῦ τοῦ Κυρίου τὸ τοιοῦτον καλὸν εὐλαβὲς καὶ πάντιμον ἔργον εὐαπόδεκτον καὶ ἀρεστὸν ἐφάνη, γνωστόν ἐστι τοῖς πᾶσιν, ὅτε ἐπηυχήθη καὶ εὐλόγησε τὸν πανεύφημον ἀπόστολον καὶ εὐαγγελιστὴν Λουκᾶν διὰ τὴν αὐτὴν ἐπιστήμην, εἰποῦσα τὸ "Ἡ χάρις τοῦ ἐξ ἐμοῦ τεχθέντος δι' ἐμοῦ μετ' αὐτῶν". Οὐ μὴν δὲ ἀλλ' ἔτι καὶ ἀπὸ τὰ ἄπειρα θαύματα, ὁποῦ ἐτέλεσαν καὶ ἐκτελοῦν καὶ αἱ δεσποτικαὶ καὶ θεομητορικαὶ σεβάσμιαι εἰκόνες καὶ τῶν λοιπῶν ἁγίων πάντων, ἀποδείκνυται ὅτι τοῦτο τὸ ἔργον τῆς ζωγραφικῆς τέχνης εὐπρόσδεκτον θεάρεστον καὶ τίμιον εἶναι. Διὰ τοῦτο λοιπὸν, ὅσοι εὐλαβῶς ἐπιμελῶς τε καὶ ἐπιπόνως τοῦτο ἐργάζονται, χάριν καὶ εὐλογίαν θεόθεν λαμβάνουσιν· ὅσοι δὲ φιλοχρηματίας χάριν πλεονεκτοῦντες ἀνευλαβῶς καὶ ἀνεπιμελῶς τοῦτο ἐπιχειρίζονται, προσεχέτωσαν καλῶς καὶ πρὸ τοῦ τέλους μεταμεληθήτωσαν, ἐνθυμούμενοι καὶ φοβούμενοι τὴν τοῦ φιλαργυρίᾳ περιπεσόντος καὶ ὁμοτρόπου αὐτοῖς Ἰούδα ἐν τῷ τῆς γεέννης πυρὶ τιμωρίαν· ἧς ῥυσθείημεν πάντες οἱ εὐσεβεῖς ταῖς πρεσβείαις τῆς ὑπερενδόξου Θεοτόκου, τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Λουκᾶ καὶ πάντων τῶν ἁγίων. Ἀμήν.

ΕΡΜΗΝΕΙΑ

ΠΕΡΙ ΤΗΣ ΠΡΩΤΗΣ ΙΣΤΟΡΙΑΣ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ

καὶ περὶ σχημάτων καὶ ἐπιγραμμάτων τοῦ ὅλου ἐνιαυτοῦ ἐκ πολλῶν παλαιῶν ἁγίων ἐκκλησιῶν ἱστορισμένων συλλεχθεῖσα.

§ 1. Ὅταν, ὦ φιλότης, βουληθῇς νὰ ἱστορίσῃς ἐκκλησίαν ἐπάνω εἰς τὴν τρούλαν τοῦ κουμπέ, πρῶτον ποίησον κύκλον καὶ ἱστόρισον ἔσωθεν αὐτοῦ τὸν Χριστὸν μετὰ Εὐαγγελίου ἐπὶ στήθους, γράφων καὶ ἐπιγραφὴν IC XC ὁ Παντοκράτωρ· γύρωθεν δὲ γράφε οὕτως· "Ἐξ οὐρανοῦ ἐπίβλεψον, ὁ Κύριος· ἴδε πάντας τοὺς κατοικοῦντας τὴν οἰκουμένην". Ἄλλο· "Κύριε, ἐπίβλεψον ἐξ οὐρανοῦ καὶ ἴδε καὶ ἐπίσκεψαι τὴν ἄμπελον ταύτην καὶ κατάρτισαι αὐτήν, ἣν ἐφύτευσεν ἡ δεξιά σου". Εἰς τὸν γῦρον δὲ ἱστόρισον τὴν Παναγίαν, γράφων ἐπιγραφὴν τοιαύτην· ΜΗΡ ΘΥ. Εἶτα τὸν τίμιον Πρόδρομον, ἐπιγράφων οὕτως· "Ὁ ἅγιος Ἰωάννης ὁ Πρόδρομος". Ἔπειτα ἐννέα τάγματα. Ἀγγέλους. Ἀρχαγγέλους. Δυνάμεις, Ἐξουσίας, Ἀρχάς, Κυριότητας, Θρόνους, Ἑξαπτέρυγα καὶ Πολυόμματα κράζοντα καὶ λέγοντα· "Ἅγιος, Ἅγιος, Ἅγιος Κύριος Σαβαώθ· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, ὁ ὢν καὶ διαμένων". Καὶ κατωτέρω γύρωθεν τοὺς προφήτας κρατοῦντας ἐν χερσὶ χάρτας ἀνοικτοὺς γεγραμμένους καὶ λέγοντας· ὁ προφήτης Ὠσηὲ γέρων στρογγυλογένης λέγων, "Ποῦ σου, Θάνατε, τὸ κέντρον; ποῦ σου, Ἅδη, τὸ νῖκος":

Ὁ προφήτης Ἰωήλ, μαυροδιχαλογένης, μαδαροπώγωνος, λέγει· "Ἐξεγειρέσθω καὶ ἀναβαινέτω πάντα τὰ ἔθνη εἰς τὴν κοιλάδα τοῦ Ἰωσαφάτ".

Ὁ προφήτης Ἀμώς, γέρων στρογγυλογένης, λέγει· "Οὐαὶ οἱ ἐπιθυμοῦντες τὴν ἡμέραν Κυρίου, καὶ αὕτη ἐστὶ σκότος καὶ οὐ φῶς".

Ὁ προφήτης Ἀβδιού, μιξοπόλιος, λέγει· "Ὃν τρόπον ἐποίησας, οὕτως ἔσται σοι· τὸ ἀνταπόδομά σου ἀνταποδοθήσεταί σοι εἰς κεφαλήν σου".

Ὁ προφήτης Ἰωνᾶς, γέρων φαλακρός, στρογγυλογένης, λέγει· "Ἐβόησα ἐν θλίψει μου πρὸς κύριον τὸν Θεόν μου καὶ εἰσήκουσέ μου ἐκ κοιλίας Ἅδου".

Ὁ προφήτης Μιχαίας, νέος μουστακίζων, λέγει· "Καὶ στήσεται καὶ ὄψεται καὶ ποιμανεῖ τὸ ποίμνιον αὐτοῦ ἐν ἰσχύι Κύριος".

Ὁ προφήτης Ναούμ, γέρων κοντογένης, λέγει· "Ἀπὸ προσώπου Κυρίου τίς ὑποστήσεται καὶ τίς ἀντιστήσεται ἐν ὀργῇ θυμοῦ αὐτοῦ":

Ὁ προφήτης Ἀββακούμ, νέος ἀγένειος, λέγει· "Περιέβαλεν ἀμέλης ἐξ ἀδικίας μετὰ δυνάμεώς σου τοὺς ἀρχηγοὺς τῶν ἁμαρτωλῶν".

Ὁ προφήτης Σοφονίας, γέρων κοντογένης, λέγει· "Φωνὴ ἡμέρας Κυρίου πικρὰ καὶ σκληρά· λέλεκται σὺν αὕτη ἡμέρα σάλπιγγος".

Ὁ προφήτης Ἀγγαῖος, μιξοπόλιος διχαλογένης, λέγει· "Ἐγὼ σείσω τὸν οὐρανόν, τὴν γῆν, τὴν θάλασσαν καὶ τὴν ξηρὰν καὶ καταστρέψω θρόνους βασιλέων".

Ὁ προφήτης Ζαχαρίας, νέος ἀγένειος, λέγει· "Ζῇ Κύριος ὁ Θεός μου καὶ πάντες οἱ ἄγγελοι αὐτοῦ, καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· οὐκ ἔσται φῶς καὶ ὄψεσθε τὴν ζωὴν ὑμῶν κρεμαμένην ἀπέναντι τῶν ὀφθαλμῶν ὑμῶν".

Ὁ προφήτης Μαλαχίας, νέος ἀγένειος, λέγει· "Ἰδοὺ ἡ ἡμέρα Κυρίου ἔρχεται ὡς κλίβανος καὶ φλέξει αὐτούς, καὶ ἔσονται ἀλλογενεῖς πάντες οἱ ποιοῦντες τὴν ἀνομίαν".

Ὁ προφήτης καὶ μεγαλοφωνότατος Ἠσαΐας ἐσκιασμένος, γέρων μακρογένης λέγων· "Θεοῦ σωτηρίας κυρίου ἔπαρσις· ἰδοὺ ἡ ἡμέρα Κυρίου ἔρχεται ἀνίατος θυμοῦ καὶ ὀργῆς θεῖναι τὴν οἰκουμένην ἐν κρίσει".

Ὁ προφήτης Δαβίδ, γέρων στρογγυλογένης, λέγει· "Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας".

Ὁ προφήτης Γεδεὼν ὅμοιος τοῦ προφήτου Ἠσαΐου.

Ὁ προφήτης καὶ βασιλεὺς Σολομὼν νέος ἀγένειος λέγων· "Στόμα δικαίου ἀποστάζει σοφίαν, χείλη δὲ ἀνδρῶν ἐπίστανται χάριτας".

Ὁ προφήτης Δανιήλ, νέος ἀγένειος, λέγει· "Ἐγὼ Δανιὴλ ἐθεώρουν, ἕως οὗ ἐτέθησαν θρόνοι εἰς κρίσιν καὶ ὁ παλαιὸς ἡμερῶν ἐκάθισεν".

Ὁ προφήτης Ἱερεμίας, γέρων κοντογένης οὐ πολλά, λέγων· "Ἐγένετο λόγος Κυρίου πρός με λέγων· Πρὸ τοῦ με πλάσαι σε ἐκ κοιλίας μητρός σου ἐπίσταμαί σε, καὶ πρὸ τοῦ σε ἐξελθεῖν ἐκ μήτρας ἡγίακά σε".

Ὁ προφήτης Ἰεζεκιήλ, γέρων ὀξυγένης λέγων· "Τάδε λέγει Κύριος τῇ γῇ τοῦ Ἰσραήλ· πέρας ἥκει".

Ὁ προφήτης Ἠλίας, γέρων ἀσπρογένης, ὅμοιος τοῦ προφήτου Ἱερεμία, λέγει· "Εὐλογητὸς ὁ Θεὸς τῶν δυνάμεων".

Ὁ προφήτης Ἐλισσαῖος, φαλακρός, βουρλογένης, λέγει: "Ζῇ Κύριος καὶ ζῇ ἡ ψυχή μου· εἰ ἐγκαταλείψω σε".

Οἱ τέσσαρες Εὐαγγελισταί. Ματθαῖος ὁ εὐαγγελιστὴς ὅμοιος ἀνθρώπῳ γράφει· "Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ, υἱοῦ Δαβίδ, υἱοῦ Ἀβραάμ".

Μᾶρκος ὁ Εὐαγγελιστὴς ὅμοιος λέοντι γράφων οὕτως· "Ἀρχὴ τοῦ Εὐαγγελίου Ἰησοῦ Χριστοῦ, υἱοῦ τοῦ Θεοῦ, ὡς γέγραπται ἐν τοῖς προφήταις· ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου".

Λουκᾶς ὁ Εὐαγγελιστὴς ὅμοιος μόσχῳ γράφων οὕτως· "Ἐπειδή περ πολλοὶ ἐπεχείρησαν ἀνατάξασθαι διήγησιν περὶ τῶν πεπληροφορημένων".

Ἰωάννης ὁ Εὐαγγελιστὴς ὅμοιος ἀετῷ γράφων οὕτως· "Ἐν ἀρχῇ ἦν ὁ Λόγος καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν καὶ Θεὸς ἦν ὁ Λόγος".

Γύρωθεν σταυροειδῶς εἰς τὲς καμάρες τὸ ἅγιον Μανδήλιον, τὸ ἅγιον Κεράμιον, τὸν Ἐμμανουὴλ καὶ τὸν Χριστὸν μέσα εἰς κλῆμα λέγοντα οὕτως εἰς χάρτην ἀνοικτόν· "Ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα· ὁ μένων ἐν ἐμοὶ κἀγὼ ἐν αὐτῷ".

Καὶ εἰς τοὺς κλάδους τοῦ κλήματος οἱ ο' ἀπόστολοι, οἱ ὁποῖοι εἶναι αὐτοί·

Ἰάκωβος ὁ Ἀδελφόθεος, υἱὸς Ἰωσὴφ τοῦ Μνήστορος, ὅστις ἐγένετο πρῶτος ἐπίσκοπος Ἱεροσολύμων ὑπὸ τοῦ Χριστοῦ.

β'. Βαρνάβας ὁ καὶ Ἰωσῆς, γράψας τὸ κατὰ Ματθαῖον ἅγιον Εὐαγγέλιον, ὃς ἐν Ῥώμῃ κηρύξας μετὰ Παύλου ἐγένετο Μεδιολάνων ἐπίσκοπος, λιθοβοληθεὶς εἰς Κύπρον. Μιξοπόλιος.

γ'. Μᾶρκος ὁ Εὐαγγελιστής, μαθητὴς γενόμενος τοῦ ἀποστόλου Πέτρου· συνέγραψε δὲ ἀπ' αὐτοῦ τὸ ἅγιον Εὐαγγέλιον· τυραννισθεὶς καὶ καυθεὶς τελειοῦται εἰς τὴν Ἀλεξάνδρειαν.

δ'. Λουκᾶς ὁ Εὐαγγελιστὴς καὶ ἰατρός, συγγραψάμενος τὸ ἴδιον Εὐαγγέλιον, ἑρμηνεύοντας ὁ μακάριος Παῦλος, ἔτι δὲ καὶ τὰς Πράξεις τῶν Ἀποστόλων, καὶ πρῶτος ζω-

γραφήσας τὴν εἰκόνα τῆς Θεοτόκου· εἰς τὰς Θήβας τῆς Βοιωτίας τελειοῦται ἐν εἰρήνῃ, γενόμενος ὀγδοήκοντα χρόνων.

ε'. Θαδδαῖος, ὅστις ἐκόμισε τὴν ἐπιστολὴν τοῦ Χριστοῦ ἐν Ἐδέσσῃ πρὸς τὸν Αὔγαρον καὶ βαπτίσας αὐτὸν, νέος ἀγένειος· ἐτελειώθη ἐν εἰρήνῃ.

ϛ'. Φίλιππος, εἷς τῶν ἑπτὰ διακόνων, ὁ καὶ τὸν εὐνοῦχον βαπτίσας· ἐγένετο ἐπίσκοπος ἐν Τράλλεσι τῆς Ἀσίας· νέος μαυροκοντογένης· ἐτελειώθη ἐκεῖ μὲ τὰς τέσσαράς του θυγατέρας.

ζ'. Στέφανος ὁ πρωτομάρτυς καὶ ἀρχιδιάκονος, εἷς τῶν ἑπτὰ καὶ τῶν ἑβδομήκοντα· νέος ἀγένειος.

η'. Πρόχορος, εἷς τῶν ἑπτὰ καὶ τῶν ἑβδομήκοντα, ἐγένετο ἐπίσκοπος Νικομηδείας· μιξοπόλιος, διχαλογένης.

θ'. Νικάνωρ, εἷς τῶν ἑπτὰ καὶ τῶν ἑβδομήκοντα κατὰ τὴν ἡμέραν ἀπέθανε.

ι'. Παρμενᾶς, εἷς τῶν ἑβδομήκοντα.

ια'. Σίμων, ὃς ἐγένετο ἐπίσκοπος Βόστρων τῆς Ἀρμενίας· ἐτελειώθη ἐν πυρί· νέος ἀγένειος.

ιβ'. Τίτος, ἐγένετο ἐπίσκοπος ἐν Κρήτῃ· νέος ἀγένειος.

ιγ'. Σιλουανὸς σὺν Παύλῳ διακονῶν γέγονεν ἐπίσκοπος Θεσσαλονίκης· φαλακρός, κοντογένης.

ιδ'. Κρίσπος, ὃν ὁ Παῦλος μέμνηται, δεύτερος ἐπίσκοπος Χαλκηδόνος, γέρων στρογγυλογένης.

ιε'. Ἐπαινετὸς ἐπίσκοπος Καρθαγένης, νέος, τὸ γένειον χωρίζων εἰς τρία.

ιϛ'. Ἀνδρόνικος ἐπίσκοπος, νέος σπανός, κοντογένης.

ιζ'. Ἀμπλίας ἐπίσκοπος Ἐδέσσης, γέρων.

ιη'. Οὐρβανὸς ἐπίσκοπος Μακεδονίας, νέος.

ιθ'. Στάχυς ἐπίσκοπος Βυζαντίου, νέος, ὅμοιος τοῦ ἁγίου Βασιλείου.

κ'. Συμεὼν ὁ ἀδελφὸς τοῦ Κυρίου, ὅστις ἐγένετο δεύτερος ἐπίσκοπος Ἱεροσολύμων, ζήσας ἔτει ρκ', σταυρωθεὶς ὑπὸ Τραϊανοῦ βασιλέως.

κα'. Λουκιανὸς ἐπίσκοπος Λαοδικείας τῆς Συρίας, νέος ἀγένειος.

κβ'. Ἀπελλῆς ἐπίσκοπος Σμύρνης, γέρων κοντογένης.

κγ'. Ἀριστόβουλος ἐπίσκοπος Βρεττανίας, γέρων.

κδ'. Ῥοδίων ἐπίσκοπος Πατρῶν, γέρων.

κε'. Ἄγαβος· προφητικῆς χάριτος ἠξιώθη· γέρων.

κϛ'. Ῥοῦφος ἐπίσκοπος Θηβῶν, μιξοπόλιος, κοντογένης.

κζ'. Ἀσύγκριτος ἐπίσκοπος Ὑρκανίας, γέρων στρογγυλογένης.

κη'. Φλέγων ἐπίσκοπος Παρθῶν, νέος ἀγένειος.

κθ'. Ἑρμῆς ἐπίσκοπος Δαλματίας, γέρων πολιός.

λ'. Γάϊος, μετὰ τὸν Τιμόθεον ἐπίσκοπος, γέρων.

λα'. Ζήνων μετὰ Πέτρον τὸν ἀπόστολον γέγονεν ἐπίσκοπος ἐν Σινώπῃ, γέρων.

λβ' Ῥοδίων, νέος· Ὀλυμπᾶς, γέρων. Οὗτοι σὺν τῷ Πέτρῳ τὰς κεφαλὰς ἀπετμήθησαν ὑπὸ Νέρωνος.

λγ'. Φαῦστος ἐπίσκοπος Ταρσοῦ, γέρων κοντογένης.

λδ'. Σωσίπατρος ἐπίσκοπος Ἰκονίου, στρογγυλογένης, νέος.

λε'. Τερέντιος ὁ τὴν πρὸς Ῥωμαίους γράψας ἐπιστολὴν, νέος ἀγένειος.

λϛ'. Ἔραστος οἰκονομῶν ἐν Ἱεροσολύμοις, εἶτα ἐπίσκοπος Πανεάδος.

λζ'. Κούαρτος ἐπίσκοπος Βηρυτοῦ, γέρων.

λη'. Ἀπολλῶς ἐπίσκοπος Καισαρείας, γέρων.

λθ'. Σωσθένης ἐπίσκοπος Κολοφωνίας, νέος στρογγυλογένης.

μ'. Ἐπαφρόδιτος ἐπίσκοπος Ἀντριάκης, νέος ἀγένειος.

μα'. Καῖσαρ ἐπίσκοπος Δυρραχίου, νέος.

μβ'. Ἰάσων, γέρων ὀξυγένης.

μγ'. Σωσίπατρος, γέρων ὀξυγένης.

μδ'. Μᾶρκος ἀνεψιὸς Βαρνάβα, ἐπίσκοπος Ἀπολλωνιάδος, νέος.

με'. Ἰωσῆς καὶ Βαρσαβᾶς, ὃς ἐπεκλήθη Ἰοῦστος, ἐπίσκοπος Ἐλευθερουπόλεως, ὁ σταθεὶς σὺν τῷ Ματθίᾳ εἰς τὸν κλῆρον· γέρων.

μς'. Κλήμης, περὶ οὗ ὁ Παῦλος λέγει "μετὰ Κλήμεντος καὶ τῶν λοιπῶν συνεργῶν μου", ὃς καὶ πρῶτος τῶν Ἑλλήνων ἐπίστευσεν εἰς τὸν Χριστόν· γέγονεν ἐπίσκοπος Ἀνδριάκης· γέρων.

μζ'. Ὀνησιφόρος ἐπίσκοπος Κορωνίας, γέρων.

μη'. Τυχικὸς ἐπίσκοπος Χαλκηδόνος, νέος.

μθ'. Κάρπος ἐπίσκοπος Βερροίας τῆς Θράκης, γέρων.

ν'. Εὔοδος, ὃς μετὰ Πέτρον τὸν ἀπόστολον ἐπίσκοπος γέγονεν Ἀντιοχείας, νέος.

να'. Ἀρίσταρχος ἐπίσκοπος Ἀπαμείας τῆς Συρίας.

νβ'. Ἀχαϊκὸς ἐπίσκοπος Ἀτταλείας, γέρων.

νγ' Μᾶρκος ὁ καὶ Ἰωάννης καλούμενος ἐν ταῖς Πράξεσι, μιξοπόλιος.

νδ'. Ζηνᾶς ὁ νομικός, ἐπίσκοπος Βολβοῦ, μιξοπόλιος.

νε'. Ἄρχιππος Κολασσαέων ἐπίσκοπος, γέρων.

νς'. Ἀρίσταρχος νέος, ὁποῦ ὡς νέος εἶναι σιμογένης.

νζ'. Ῥοῦφος, νέος σιμογένης. Οὗτοι οἱ τρεῖς ἐν ταῖς δυσὶ μνήμαις τῶν ἀποστόλων κακοπαθήσαντες ἐν Ῥώμῃ τὰς κεφαλὰς ἀπετμήθησαν ὑπὸ Νέρωνος.

νη'. Ἱερόθεος ἐπίσκοπος, γέρων μιξοπόλιος.

νθ'. Τιμόθεος ἐπίσκοπος Ἐφέσου, νέος σιμογένης.

ξ'. Φουρτουνᾶτος ἐπίσκοπος γέρων.

ξα'. Ἰάκωβος ὁ τοῦ Ἀλφαίου λίθοις ἀνῃρέθη παρὰ Ἰουδαίοις ἐν τῇ Ἀφρικῇ.

ξβ'. Ἰούδας ὁ ἀπόστολος καὶ ἀδελφὸς τοῦ Κυρίου.

ξγ. Ἀνανίας ἐπίσκοπος Δαμασκοῦ, ὅστις ἐβάπτισε τὸν ἀπόστολον Παῦλον.

ξδ'. Ὀνήσιμος ἐπίσκοπος, μιξοπόλιος· περὶ αὐτοῦ λέγει ὁ Παῦλος "πρὸ ἐμοῦ γεγόνασιν ἐν Χριστῷ".

ξε'. Ματθίας ὁ ἀναπληρώσας τὸν ἀριθμὸν τῶν δώδεκα ἀποστόλων, γέρων κοντογένης.

ξς'. Κλεόπας ἀνεψιὸς τοῦ Κυρίου, γαμβρὸς Ἰωσήφ, ἐπίσκοπος γενόμενος Ἱεροσολύμων· γέρων.

Ποῖοι τῶν ἀποστόλων ἦσαν ἁλιεῖς.

Πέτρος καὶ Ἀνδρέας οἱ υἱοὶ τοῦ Ἰωνᾶ. Ἰάκωβος καὶ Ἰωάννης οἱ υἱοὶ τοῦ Ζεβεδαίου. Ἰάκωβος καὶ Ἰούδας οἱ υἱοὶ τοῦ Ἀλφαίου.

Ποίου τέλους ἔτυχον οἱ δώδεκα Ἀπόστολοι.

Πέτρος σταυρούμενος κατὰ κεφαλῆς ὑπὸ Νέρωνος ἐν Ῥώμῃ δέχεται τὸ τέλος.

Παῦλος ὁ ἀπόστολος ἐρχόμενος καὶ αὐτὸς εἰς τὴν Ῥώμην ἀποκεφαλίζεται διὰ ξίφους.

Ἰωάννης ὁ Θεολόγος ἐν τῇ πόλει Ἐφέσῳ καλυπτόμενος ὑπὸ τῶν μαθητῶν αὐτοῦ, γέρων ὑπάρχων τὴν ἡλικίαν ἐτῶν ρε' καὶ . .

Ἀνδρέας ὁ ἀπόστολος σταυρωθεὶς ὑπὸ Αἰγεατῶν εἰς τὴν Ἀχαΐκὴν ὑποκάτω εἰς μίαν ἐλαίαν.

Ἰάκωβος ὁ τοῦ Ζεβεδαίου υἱὸς θανατώνεται διὰ ξίφους ὑπὸ τὸν Ἡρώδην τον Ἀγρίππαν ἐν Ἰουδαίᾳ.

Φίλιππος ὁ ἀπὸ Βηθσαϊδὰ σταυρωθεὶς ἀπὸ τοὺς Ἕλληνας κατακέφαλα εἰς ἕνα δένδρον μετὰ Μαριάμνης τῆς ἀδελφῆς αὐτοῦ εἰς Ἱεράπολιν.

Θωμᾶς ὁ λεγόμενος Δίδυμος εἰς τὴν Ἰνδίαν εἰς ἕνα ὄρος τρυπᾶται μὲ λόγχες ὑπὸ πέντε στρατιωτῶν.

Βαρθολομαῖος σταυρωθεὶς εἰς τὴν Ἀρβανόπολιν ὑπὸ τῶν ἀπίστων δέχεται τὸ τέλος.

Ματθαῖος ὁ Εὐαγγελιστὴς τελειώνεται διὰ πυρὸς ὑπὸ τῶν ἀπίστων εἰς τὴν Ἱεράπολιν.

Ἰάκωβος Ἀλφαίου καὶ ἀδελφὸς Ματθαίου κρεμασθεὶς εἰς σταυρὸν ἀπὸ τοὺς ἀπίστους τελειοῦται.

Σίμων ὁ ἀπὸ τῆς Κανᾶ τῆς Γαλιλαίας, ὁ καὶ Ναθαναὴλ ὀνομαζόμενος, σταυρωθεὶς εἰς Βρεττανίαν ὑπὸ τῶν ἀπίστων θάπτεται ἐκεῖ.

Μᾶρκος ὁ Εὐαγγελιστὴς εἰς τὴν Ἀλεξάνδρειαν καυθεὶς ἐμαρτύρησεν εἰς αὐτήν.

Λουκᾶς ὁ Εὐαγγελιστὴς ἐκοιμήθη ἐν εἰρήνῃ ἐν ταῖς Θήβαις τῆς Βοιωτίας.

Ὑποκάτωθεν ἐν ταῖς καμάραις σταυροειδῶς τοὺς προφήτας, ὅπου προφητεύουν διὰ τὰς ἑορτάς. Εἶτα τάσδε πάσας τὰς ἑορτάς· εἰς μὲν τὴν δεξιὰν ἡ ἁγία Μεταμόρφωσις, εἰς δὲ τὴν ἀριστερὰν ἡ ἁγία Ἀνάστασις. Ἔνδον τοῦ βήματος ἄνω εἰς τὴν καμάραν ἡ Ὑψηλοτέρα τῶν Οὐρανῶν, ἔνθεν δὲ καὶ ἔνθεν Μιχαὴλ καὶ Γαβριὴλ πρεσβείαν ποιοῦντες. Εἰς δὲ τὸ δυτικὸν μέρος ἄνωθεν τῆς πύλης ἡ Σταύρωσις· ὁ ἑκατόνταρχος λέγων· "Ἀληθῶς Θεοῦ υἱὸς ἦν οὗτος". Ὁ ἐκ δεξιῶν λῃστὴς Θεσδᾶς λέγων· "Μνήσθητί μου, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου". Ὁ ἐξ εὐωνύμων βλασφημῶν Δημᾶς ἦτον Γαλιλαῖος. Ἡ Γέννησις τοῦ Χριστοῦ· ἡ Βρεφοκτονία τοῦ Ἡρώδου· ἡ Ὑπαπαντή, ἡ Βάπτισις τοῦ Χριστοῦ, ἡ Ἔγερσις τοῦ Λαζάρου, ἡ Βαϊοφόρος, ἡ Ψηλάφησις τοῦ Θωμᾶ, ἡ Μεσοπεντηκοστή, ἡ Ἀνάληψις, ἡ Πεντηκοστή, τὰ θεῖα ἔργα καὶ θαύματα τοῦ Σωτῆρος Χριστοῦ· ὁ Χριστὸς ἐκβάλλει τοὺς πωλοῦντας καὶ ἀγοράζοντας· ὁ Χριστὸς ἀνέστησε τὴν θυγατέρα τοῦ ἀρχισυναγώγου· ὁ Χριστὸς ἰατρεύει τοὺς δύο δαιμονιζομένους· ὁ Χριστὸς ἰᾶται τὸν ἐξηραμμένην ἔχοντα τὴν χεῖρα· ὁ Χριστὸς ἰᾶται τὸν δαιμονιῶντα κωφόν· ὁ Χριστὸς ἀνέστησε τον υἱὸν τῆς χήρας· ὁ Χριστὸς διαλεγόμενος τῇ Σαμαρείτιδι· ὁ Χριστὸς ἰᾶται τὸν παράλυτον· ὁ Χριστὸς φωτίζει τὸν ἐκ γενετῆς τυφλὸν[1]· ὁ Χριστὸς ἰᾶται τοὺς ἐν ποικίλαις νόσοις· ὁ Χριστὸς ἀνορθοῖ τὴν συγκύπτουσαν· ὁ Χριστὸς φωτίζει τοὺς δύο τυφλούς· ὁ Χριστὸς θεραπεύει τὸν σεληνιαζόμενον υἱόν· ὁ Χριστὸς εὐλογεῖ τοὺς ἄρτους καὶ τοὺς ἰχθύας· ὁ Χριστὸς καθαρίζει τοὺς δέκα λεπρούς· ὁ Χριστὸς θεραπεύει τὸν ὑδρωπικόν· ὁ Χριστὸς ἐκβάλλει τῆς Μαρίας τὰ ἑπτὰ δαιμόνια· ὁ Χριστὸς ἰᾶται τὴν θυγατέρα τῆς Χαναναίας· ὁ Χριστὸς δίδωσι τὰ δίδραχμα τοῖς ζητοῦσι τῷ Πέτρῳ· ὁ Χριστὸς θεραπεύει τὴν αἱμορροοῦσαν· ὁ Χριστὸς πειραζόμενος ὑπὸ τοῦ διαβόλου· ὁ Χριστὸς ἰᾶται τὸν παραλυτικόν· ὁ Χριστὸς καθαρίζει τὸν λεπρόν· ὁ Χριστὸς ἐπετίμησε τοῖς ἀνέμοις καὶ τῇ θαλάσσῃ καὶ ἐγένετο γαλήνη μεγάλη· τὸ ἀνώγεον Ζακχαίου.

Αἱ παραβολαὶ τοῦ σωτῆρος Χριστοῦ.

Ἡ παραβολὴ τοῦ Τελώνου καὶ Φαρισαίου. — Ἡ παραβολὴ τοῦ ἀσώτου υἱοῦ. — Ἡ παραβολὴ τῶν δέκα παρθένων. — Ἡ παραβολὴ τοῦ πλουσίου καὶ τοῦ πτωχοῦ Λαζάρου. — Ἄνθρωπός τις ἦν οἰκοδεσπότης, ὅστις ἐξῆλθεν ἅμα πρωῒ μισθώσασθαι ἐργάτας εἰς τὸν ἀμπελῶνα αὐτοῦ, συμφωνήσας δὲ ἓν δηνάριον τὴν ἡμέραν. — Ἄνθρωπός τις ἐξῆλθε τοῦ σπεῖραι τὸν σπόρον αὐτοῦ καὶ ἐν τῷ σπείρειν αὐτὸν ὁ μὲν ἔπεσε παρὰ τὴν ὁδὸν καὶ κατεπατήθη, ὁ δὲ ἐπὶ τὰς ἀκάνθας. — Ἄνθρωπός τις ἐποίησε δεῖπνον μέγαν καὶ ἐκάλεσε πολλοὺς καὶ ἀπέστειλε τὸν δοῦλον αὐτοῦ τῇ ὥρᾳ τοῦ δείπνου εἰπεῖν τοῖς κεκλημένοις· "Ἔρχεσθε, ὅτι ἤδη ἕτοιμά εἰσι". — Ἄνθρωπός τις ἦν οἰκοδεσπότης, ὅστις ἐφύτευσεν ἀμπελῶνα καὶ φραγμὸν περιέθηκε καὶ ὤρυξεν ἐν αὐτῷ ληνὸν καὶ

1) Μετὰ τοῦτο ἐν τῷ χειρογράφῳ "καλχηδωνίου".

ᾠκοδόμησε πύργον καὶ ἐξέδοτο αὐτὸν γεωργοῖς καὶ ἀπεδήμησε. — Ἄνθρωπός τις κατέβαινεν ἀπὸ Ἱερουσαλὴμ εἰς Ἱεριχὼ καὶ λῃσταῖς περιέπεσεν, οἳ καὶ ἐκδύσαντες αὐτὸν καὶ πληγὰς ἐπιθέντες ἀπῆλθον ἀφέντες αὐτὸν ἡμιθανῆ τυγχάνοντα. — Ἀνθρώπου τινος πλουσίου εὐφόρησεν ἡ χώρα καὶ διελογίζετο ἐν ἑαυτῷ λέγων· "Ποῦ συνάξω τοὺς καρπούς μου καὶ τὰ ἀγαθά μου"; Καὶ εἶπε· "Τοῦτο ποιήσω· καθελῶ μου τὰς ἀποθήκας καὶ μείζονας οἰκοδομήσω". — Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὅστις ἐποίησε γάμους τῷ υἱῷ αὐτοῦ καὶ ἀπέστειλε τοὺς δούλους αὐτοῦ εἰπεῖν τοῖς κεκλημένοις· Ἔρχεσθε.

Ἐκ τῶν Εὐαγγελίων τῶν Ἁγίων Παθῶν.

Ὁ μυστικὸς δεῖπνος. — Ὁ ἱερὸς νιπτήρ. — Ἡ ὑπερφυὴς προσευχή. — Ἡ προδοσία. — Ὁ Χριστὸς κρινόμενος ὑπὸ Ἄννα καὶ Καϊάφα. — Ἡ κρίσις καὶ ἡ ἀπόνιψις τοῦ Πιλάτου. — Τότε Ἰούδας ὁ παραδιδοὺς αὐτὸν ἰδὼν ὅτι κατεκρίθη, μεταμεληθεὶς ῥίψας τὰ ἀργύρια λέγει· "Ἥμαρτον παραδοὺς αἷμα ἀθῷον"· καὶ ἀπελθὼν ἀπήγξατο. — Τὸ ἔνδυμα τῆς πορφύρας. — Ὁ ἐμπαιγμός. — Ὁ ἐμπτυσμός. — Ὁ κολαφισμός. — Ἡ μαστίγωσις. — Ἡ τοῦ Πέτρου α' καὶ β' καὶ γ' ἄρνησις. — Ἑλκόμενος ὁ Κύριος ἐπὶ σταυροῦ. — Βάλλοντες τὸν σταυρὸν ἐπὶ τὸν Σίμωνα τὸν Κυρηναῖον. — Ὁ διαμερισμὸς τῶν ἱματίων τοῦ Χριστοῦ· βάλλοντες κλῆρον. — Ἡ ἀποκαθήλωσις. — Ὁ ἐπιτάφιος θρῆνος. — Ὁ ἐνταφιασμός. — Ἡ εἰς τὸν τάφον φύλαξις τῆς κουστωδίας.

Τῶν μυροφόρων γυναικῶν τὰ ὀνόματα.

Μαρία ἡ ἀλείψασα τὸν Κύριον μύρον πρὸ τοῦ πάθους, ἡ ἀδελφὴ τοῦ Λαζάρου. Ἡ πόρνη εἰς τὸν οἶκον οὖσα Σίμωνος τοῦ λεπροῦ. Αἱ δὲ ἄλλαι μετὰ τὴν ἀνάστασιν ἐν τῷ τάφῳ ἀπελθοῦσαι μετὰ μύρων τὴν ἀνάστασιν τοῦ Κυρίου εὐηγγελίσθησαν· Μαρία ἡ Μαγδαληνή, Μαρία Ἰακώβου τοῦ μικροῦ, Φωτεινὴ μήτηρ Ἰωσήφ, Σαλώμη μήτηρ τοῦ υἱοῦ Ζεβεδαίου, Σωσάννα γυνὴ Χουζᾶ, Μαρία ἡ τοῦ Κλωπᾶ. Μετὰ (τὴν) τριήμερον ἀνάστασιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τὸ Χαῖρε τῶν Μυροφόρων.

Τὰ ἕνδεκα Ἑωθινά.

α'. Οἱ ἕνδεκα μαθηταὶ ἐπορεύθησαν εἰς τὴν Γαλιλαίαν, εἰς τὸ ὄρος, οὗ ἐτάξατο αὐτοῖς ὁ Ἰησοῦς, καὶ ἰδόντες αὐτὸν προσεκύνησαν αὐτόν, οἱ δὲ ἐδίστασαν.

β'. Ἰησοῦν ζητεῖτε τὸν Ναζαρηνὸν τὸν ἐσταυρωμένον; ἠγέρθη, οὐκ ἔστιν ὧδε· ἴδε ὁ τόπος ὅπου ἔθηκαν αὐτόν.

γ'. Ἀνακειμένοις αὐτοῖς τοῖς ἕνδεκα ἐφανερώθη καὶ ὠνείδισε τὴν ἀπιστίαν αὐτῶν καὶ σκληροκαρδίαν, ὅτι τοῖς θεασαμένοις αὐτὸν ἐγηγερμένον οὐκ ἐπίστευσαν.

δ'. Τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; οὐκ ἔστιν ὧδε, ἀλλ' ἠγέρθη· μνήσθητε ὡς ἐλάλησεν ὑμῖν ἔτι ὢν ἐν τῇ Γαλιλαίᾳ λέγων.

ε'. Εἰς Ἐμμαοὺς κλῶν τὸν ἄρτον.

ς'. Εἰρήνη ὑμῖν· τί τεταραγμένοι ἐστὲ καὶ ἵνα τί ἀναβαίνουσι διαλογισμοὶ ἐν ταῖς καρδίαις ὑμῶν;

ζ'. Πέτρος καὶ Ἰωάννης δραμόντες εἰς τὸ μνημεῖον οὐχ εὗρον τὸ σῶμα τοῦ κυρίου Ἰησοῦ.

η'. Μαρία, μή μου ἅπτου· οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν πατέρα μου· πορεύου δὲ πρὸς τοὺς . . .

θ'. Λέγει τῷ Θωμᾷ· Φέρε τὸν δάκτυλόν σου ὧδε καὶ ἴδε τὰς χεῖράς μου καὶ φέρε τὴν χεῖρά σου καὶ βάλε εἰς τὴν πλευράν μου καὶ μὴ γίνου ἄπιστος, ἀλλὰ πιστός.

ι'. Βάλετε οὖν εἰς τὰ δεξιὰ μέρη τοῦ πλοίου τὸ δίκτυον καὶ εὑρήσετε. Ἔβαλον

σὺν καὶ οὐκέτι αὐτὸ ἑλκύσαι ἴσχυσαν ἀπὸ τοῦ πλήθους τῶν ἰχθύων.

ια'. Ἡ τρίτη ἐρώτησις τοῦ Πέτρου, τὸ Φιλεῖς με πλεῖον τούτων;

Ἔσω τοῦ βήματος ὑποκάτω τῆς Ὑψηλοτέρας ἡ Θεία Λειτουργία.

Εἰς τὴν καμάραν γράφε·

"Ζῶν ἄρτος εἰμὶ καὶ κόσμου φάος· ἔρχεσθε, φωτίζεσθε καὶ τρέφεσθέ μοι".

Ἡ ἁγία μετάδοσις τῶν ἀποστόλων· ὁ Χριστὸς λέγων· "Λάβετε, φάγετε, τοῦτό μου ἐστὶ τὸ σῶμα τὸ ὑπὲρ ὑμῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν". — Ἡ ἁγία μετάληψις τῶν ἀποστόλων· ὁ Χριστὸς λέγων· "Πίετε ἐξ αὐτοῦ πάντες, τοῦτό ἐστι τὸ αἷμά μου τὸ τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν". — Ἡ σκηνὴ τοῦ μαρτυρίου. — Ἡ κιβωτὸς φερομένη ὑπὸ τοῦ βασιλέως καὶ τοῦ λαοῦ εἰς τὸν οἶκον τοῦ Δαβὶδ τοῦ βασιλέως. — Εἰς τῆς προσκομιδῆς τὸν κουμπὲ ὁ Χριστὸς ὡς ἀρχιερεὺς ἐπὶ θρόνου καθήμενος. Γράφε οὕτως· "Ἄνω σε ἐν θρόνῳ καὶ κάτω ἐν τάφῳ". — Εἰς δὲ τὸν γῦρον τοῦ κουμπὲ οἱ ἀρχιερεῖς, οὓς βούλει, καὶ ὑποκάτω αὐτῶν ἡ ἀποκαθήλωσις, ἡ θυσία τοῦ Ἀβραάμ, ἡ θυσία τοῦ Ἄβελ ἡ θυσία τοῦ Κάϊν, ἡ θυσία τοῦ Ἰεφθάε, οἱ ἅγιοι τρεῖς παῖδες ἐν τῇ καμίνῳ.

Εἰς δὲ τὸν ἄλλον κουμπὲ ἡ Πλατυτέρα καὶ τριγύρου βαστάζοντες αὐτὴν οἱ ἄγγελοι. Ὑποκάτωθεν δὲ αὐτῆς ἡ κλῖμαξ τοῦ Ἰακώβ, ἡ ἁγία βάτος, ὁ προφήτης Δανιὴλ ἐν τῷ λάκκῳ τῶν λεόντων· κάτωθεν οἱ διάκονοι, Στέφανος ὁ πρωτομάρτυς καὶ ἀρχιδιάκονος, ὅστις ἐλιθοβολήθη ὑπὸ Ἰουδαίων, νέος ἀγένειος· Ῥωμανὸς ὁ μελῳδός, νέος ἀρχιγένης κρατῶν κοντάκι. Εὔπλος διάκονος, νέος ἀγένειος. Λαυρέντιος διάκονος, νέος ἀγένειος. Ῥουφῖνος διάκονος, νέος. Παρμενᾶς νέος διάκονος ἐτῶν ἑπτά, ἀγένειος. Ἀειθαλᾶς νέος ἀγένειος μουστακίζων.

Οἱ ἅγιοι ἱεράρχαι εἰς τὸν γῦρον τῆς ἁγίας τραπέζης, τά τε εἴδη καὶ σχήματα καὶ τὰ ἐπιγράμματα ἑκάστου αὐτῶν.

Ὁ ἅγιος Βασίλειος νέος, μακρύς, ξηρός, μακρὰν ἔχων τὴν γενειάδα, πολιός, μεσαῖος, εἰς τὰς τρίχας ἔχων τὰ ὀφρύδια καμαρωτά, λέγων ἐπὶ χάρτου· "Οὐδεὶς ἄξιος τῶν συνδεδεμένων ταῖς σαρκικαῖς ἐπιθυμίαις καὶ ἡδοναῖς προσέρχεσθαι ἢ προσεγγίζειν ἢ λειτουργεῖν σοι, βασιλεῦ τῆς δόξης". Ἕτερον· "Ψυχῆς τὸ κάλλος ἀσφαλῶς φρουρητέον· ταύτην ἀπαιτήσει Θεὸς κριτὴς ὁ δίκαιος ἐκ βροτῶν γένους".

Ὁ ἅγιος Ἰωάννης ὁ Χρυσόστομος, νέος σπανός, λέγει· "Ὁ Θεὸς ὁ Θεος ἡμῶν, ὁ τὸν οὐράνιον ἄρτον, τὴν τροφὴν τοῦ παντὸς κόσμου, τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν". Ὀσιακόν· "Τῶν πρὶν ἕκαστος εἴπερ ἐκστῇ σφαλμάτων, σωθήσεται πᾶς· ἐγγυῶμαι γνησίως".

Ὁ ἅγιος Γρηγόριος ὁ Θεολόγος γέρων πλατυγένης, φαλακρός, δασύς, σγουρὰς καὶ λευκὰς ἔχων τὰς τρίχας, ἔχων τὰ ὀφρύδια ἴσα λέγει· "Θεὸς ὁ ἅγιος ὁ ἐν ἁγίοις ἀναπαυόμενος, ὁ τρισαγίῳ φωνῇ ὑπὸ τῶν Σεραφὶμ ἀνυμνούμενος". Ὀσιακόν· "Ποιμὴν λογικῆς ἐγκαταστὰς ἀγέλης ἁπλοῦς, ταπεινός, εὐμενής, πραῢς ἔσο· οὕτω γὰρ αὐτὴν πληθυνεῖς ἐν Κυρίῳ".

Ὁ ἅγιος Ἀθανάσιος Ἀλεξανδρείας γέρων πλατυγένης φαλακρὸς λέγει· "Πάλιν καὶ πολλάκις σοὶ προσπίπτομεν καὶ σοῦ δεόμεθα, ἀγαθὲ καὶ φιλάνθρωπε· ἕνα Θεὸν σεβόμεθα εἰς τρία πρόσωπα ἐν μονάδι, μηδὲ τὰ πρόσωπα συγχέοντες, μήτε τὴν οὐσίαν διαχωρίζοντες".

Ὁ ἅγιος Κύριλλος φαλακρός, μιξοπόλιος, βουρλογένης, εἰς δύο χωρισμένα τὰ γένειά του, λέγει· "Ἐξαιρέτως τῆς παναγίας ἀχράντου ὑπερευλογημένης ἐνδόξου δεσποίνης ἡμῶν Θεοτόκου".

Ὁ ἅγιος Νικόλαος ὁ Μύρων τῆς Λυκίας γέρων φαλακρός, στρογγυλογένης, λέγων· " Ὥστε γενέσθαι τοῖς μεταλαμβάνουσιν εἰς νῆψιν ψυχῆς καὶ ἄφεσιν ἁμαρτιῶν, εἰς κοινωνίαν τοῦ ἁγίου πνεύματος. Εἷς Θεὸς πατὴρ Λόγου ζῶντος, σοφίας ὑφεστώσης καὶ δυνάμεως καὶ χαρακτῆρος ἐνιδίου ".

Ὁ ἅγιος Σπυρίδων γέρων βουρλογένης, διχαλογένης, λέγων· " Ἔτι προσφέρομέν σοι, Κύριε, τὴν λογικὴν ταύτην καὶ ἀναίμακτον λατρείαν ".

Ὁ ἅγιος Ἰάκωβος ὁ Ἀδελφόθεος γέρων σγουροκέφαλος, μακρογένης, λέγων· " Εὐχαριστοῦμέν σοι, βασιλεῦ ἀόρατε, ὁ τῇ ἀμετρήτῳ σου δυνάμει τὰ πάντα δημιουργήσας ".

Ὁ ἅγιος Πέτρος Ἀλεξανδρείας γέρων στρογγυλογένης, λέγων πρὸς τὸν Χριστόν· " Τίς σου τὸν χιτῶνα διεῖλε, Σῶτερ "; Ὁ Χριστὸς λέγει· " Ἄρειος ὁ ἄφρων καὶ παγκάκιστος, Πέτρε ".

Ὁ ἅγιος Ἰωάννης ὁ Ἐλεήμων, γέρων ἀσπρομακρυγένης, λέγει· " Μετὰ τούτων καὶ ἡμεῖς τῶν μακαρίων δυνάμεων βοῶμεν καὶ λέγομεν, δέσποτα φιλάνθρωπε ".

Ὁ ἅγιος Διονύσιος ὁ Ἀρεοπαγίτης γέρων σγουροκέφαλος, διχαλογένης, λέγων· " Μεμνημένοι τοίνυν τῆς σωτηρίου ταύτης ἐντολῆς καὶ πάντων τῶν ὑπὲρ ἡμῶν γενομένων, τοῦ σταυροῦ, τοῦ τάφου, τῆς τριημέρου ἀναστάσεως ".

Ὁ ἅγιος Ἰγνάτιος ὁ Θεοφόρος, γέρων μακρογένης, λέγων· " Κύριε παντοκράτορ, ὁ μόνος ἅγιος δεχόμενος θυσίαν αἰνέσεως παρὰ τῶν ἐπικαλουμένων σε ἐν ὅλῃ καρδίᾳ ".

Ὁ ἅγιος Σίλβεστρος πάπας Ῥώμης, γέρων μακρογένης, λέγει· " Σοὶ παρακατατιθέμεθα τὴν ζωὴν ἡμῶν ἅπασαν καὶ τὴν ἐλπίδα, δέσποτα φιλάνθρωπε ".

Ὁ ἅγιος Ἀνδρέας ὁ Κρήτης, γέρων ἀσπρογένης, λέγων· " Ὅτε κριτὴς καθίσῃς ὁ εὔσπλαγχνος καὶ δείξῃς τὴν φοβερὰν δόξαν σου, Χριστέ, ὢ ποῖος φόβος τότε, καμίνου καιομένης, πάντων δειλιώντων τὸ ἄστεκτον τοῦ βήματός σου ".

Ὁ ἅγιος Γρηγόριος ὁ Νύσσης γέρων ὀξυγένης λέγων· " Ὁ εὐλογῶν τοὺς εὐλογοῦντάς σε, Κύριε, καὶ ἁγιάζων τοὺς ἐπὶ σοὶ πεποιθότας ".

Ὁ ἅγιος Γρηγόριος ὁ Νεοκαισαρείας ὁ θαυματουργός, γέρων σγουροκοντογένης, διαφαρίζων ὀλίγον.

Ὁ ἅγιος Γρηγόριος ὁ Διάλογος νέος ὀλιγογένης.

Ὁ ἅγιος Γρηγόριος Ἀκραγαντίνων γέρων κοντογένης.

Ὁ ἅγιος Γρηγόριος τῆς Μεγάλης Ἀρμενίας γέρων κοντοπλατυγένης.

Γερμανὸς ὁ πατριάρχης γέρων εὐνοῦχος, ὅμοιος Ἰωάννου

Ἐπιφάνιος Κύπρου γέρων φαλακρός, ἀσπρογένης.

Ἱερόθεος, γέρων μακρογένης.

Πρόκλος, γέρων μεγαλογένης.

Πολύκαρπος ὁ Σμύρνης, γέρων στρογγυλογένης.

Σωφρόνιος πατριάρχης, μιξοπόλιος, ὀξυγένης.

Μεθόδιος, γέρων φαντογένης.

Μόδεστος, γέρων φαλακρός, πολιασμένος.

Βλάσιος, γέρων σγουροκέφαλος, ὀξυγένης.

Ἀμβρόσιος γέρων ὀξυγένης.

Παρθένιος Λαμψάκου, γέρων πλατυγένης.

Ταράσιος πατριάρχης, γέρων κοντογένης.

Ἀντίπας, γέρων ἀσπρομακρογένης.

Ἀχίλλειος Λαρίσσης, γέρων ὀξυγένης, βουρλογένης.

Νίκανδρος, νέος στρογγυλογένης.

Θεοφύλακτος, γέρων εὐνοῦχος.

Ἄνθιμος, νέος ὀλιγογένης.

Βαβύλας, γέρων πλατυγένης.

Αὐτόνομος, γέρων κοντοστρογγυλογένης.

Εὐμένιος, γέρων στρογγυλογένης.
Ἀλύπιος, γέρων μακρογένης ὀλίγον.
Πορφύριος, γέρων μαδαροπώγωνος.
Πατρίκιος Προύσης, νέος ὀλιγογένης.
Ἀθηνογένης, νέος ὀξυγένης.
Νικηφόρος πατριάρχης, γέρων βοσκλογένης.
Μητροφάνης πατριάρχης, γέρων ὀξυγένης.
Ὑπάτιος, γέρων ὀξυγένης.
Εὐσέβιος, ἀρχιγένης.
Ἀγάπιος, γέρων ὀξυγένης.
Μαρτῖνος, νέος ὀξυγένης.
Ἰωσὴφ Θεσσαλονίκης, νέος ὀξυγένης.
Θεράπων, γέρων κοντογένης, βαστάζων φλεβότομον.
Ἐλευθέριος, νέος ἀρχιγένης.
Χαραλάμπης, γέρων μακροδιχαλογένης.
Ἀκεψιμᾶς, γέρων φαλακρός, πολυγένης, διχαράζων ὀλίγον.
Λάζαρος, νέος μουστακίζων.
Μελέτιος, γέρων μακρογένης, εἰς τρία χωρισμένα τὰ γένεια.
Βασίλειος Ἀμασείας, γέρων ὀξυγένης, ὅμοιος τοῦ Μεγάλου Βασιλείου.
Ἰωσήφ, γέρων ὀξυγένης, πρεσβύτερος.
Παῦλος ὁ ὁμολογητής, νέος κοντοδιχαλογένης.
Ἀμφιλόχιος Ἰκονίου, γέρων πολλά.
Κύριλλος Ἱεροσολύμων, γέρων στρογγυλοπρόσωπος.
Ἀβέρκιος, γέρων ἀσπρογένης.
Ἰωάννης ὁ Νηστευτής, γέρων οὐ πολλά.
Κυπριανὸς σγουροδιχαλογένης.
Δονᾶτος Εὐροίας, γέρων ἀσπρογένης.
Ἑρμόλαος ἐπίσκοπος, γέρων μακρογένης.
Κλήμης πάπας Ῥώμης, γέρων ἀσπρογένης.
Λεωνίδας, γέρων κοντογένης.
Ἱππόλυτος πάπας Ῥώμης, σιμογένης.
Κλήμης Ἀγκύρας, πολιός, στρογγυλογένης.
Ἀχιλλᾶς Ἀλεξανδρείας, γέρων ἀσπρογένης.
Νικόλαος ὁ Μεγαλοπόλεως, νέος ἀγένειος.
Ἰωακεὶμ Ἀλεξανδρείας, γέρων πολλὰ ἀσπρογένης.

Ἔξωθεν δὲ τοῦ βήματος ἄνωθεν τῶν διακονικῶν εἰς τὴν πρώτην καμάραν:

Ὁ Ἄναρχος Πατήρ. Εἰς δὲ τὴν β′ ὁ Μεγάλης Βουλῆς Ἄγγελος. Κάτω γύρωθεν οἱ πατριάρχαι· ὁ πατριάρχης Ἀβραάμ, ὁ πατριάρχης Ἰσαάκ, ὁ Ἀδὰμ καὶ ἡ Εὔα, ὁ πατριάρχης Ἰακώβ, ὁ πατριάρχης Ἰούδας, ὁ πατριάρχης Ἰωσήφ, ὁ πατριάρχης Λευΐ, ὁ πατριάρχης Ἰσάχαρ, ὁ πατριάρχης Ζαβουλών, ὁ πατριάρχης Δάν, ὁ δίκαιος Ἄβελ, ὁ δίκαιος Ἐνώχ, ὁ δίκαιος Λάμεχ, ὁ δίκαιος Ἰώβ, ὁ δίκαιος Νῶε, ὁ δίκαιος Μελχισεδέκ, ὁ προφήτης Σαμουήλ, ὁ προφήτης Νάθαν, ὁ προφήτης Μωϋσῆς, ὁ προφήτης Ἀαρών, ὁ προφήτης Δανιήλ.

Εἰς δὲ τὴν τρίτην καμάραν ἄνω τὸν Μιχαὴλ καὶ εἰς τὴν τετάρτην τὸν Γαβριήλ.

Οἱ ἅγιοι ἀνάργυροι καὶ θαυματουργοὶ Κοσμᾶς καὶ Δαμιανός, νέοι ἀρχιγένειοι, τὰς τρίχας ἔχοντες ἄνωθεν τῶν ὠτίων, φαλακρίζοντες, ὀλιγότριχοι, σγουρακίζοντες. Τρεῖς εἶσι συζυγίαι τῶν ἁγίων Ἀναργύρων, ὁποῦ ὀνομάζονται Κοσμᾶς καὶ Δαμιανὸς ἀδελφοί· καὶ οἱ μὲν ὀνομάζονται Ῥωμαῖοι, οἱ δὲ ἐξ Ἄσιας, οἱ δὲ ἐξ Ἀραβίας.

Κῦρος, γέρων φαλακρός, μεγαλογένης εἰς δύο χωρισμένα ἔχων τὰ γένεια.

Ἰωάννης, γέρων ὀξυγένης, ἔχων τὰς τρίχας πλείονας.

Παντελεήμων, νέος σγουροκέφαλος, ὅμοιος τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου.

Ἑρμόλαος, γέρων μακρογένης ὀλίγον καὶ πρεσβύτερος, βαστάζων Εὐαγγέλιον.

Θαλλέλαιος, νέος μαυρογένης.

Τρύφων, νέος ἀγένειος.

Διομήδης καὶ ὁ Σαμψὼν ὅμοιοι, ὀξυγένηδες οὐ πολλά.

Φώτιος καὶ Ἀνίκητος νέοι.

Ἡ ἀναστήλωσις τῶν ἁγίων εἰκόνων.

Ἡ ὕψωσις τοῦ τιμίου Σταυροῦ.

Εἰς τὲς κολῶνες ὁ Εὐαγγελισμός.

Ὁ προφήτης Δαβὶδ μὲ χάρτην ἀνοικτὸν λέγων· " Ἄκουσον, θύγατερ, καὶ κλῖνον τὸ οὖς σου "· Ὁμοίως καὶ ἀπὸ τὸ ἄλλο μέρος ὁ προφήτης Ἠσαΐας· " Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱόν ".

Ἡ γέννησις τῆς Θεοτόκου.

Τὰ εἰσόδια. Τὴν εὐλογηθεῖσαν χερσὶ τῶν ἱερέων.

Ἡ κοίμησις τῆς Θεοτόκου καὶ ὁ ἐνταφιασμὸς αὐτῆς.

Γύρωθεν δὲ εἰς τοὺς χοροὺς οἱ ἅγιοι ἔνδοξοι μεγαλομάρτυρες.

Ὁ ἅγιος μεγαλομάρτυς Γεώργιος, νέος ἀγένειος, σγουροκέφαλος.

Ὁ ἅγιος μεγαλομάρτυς Δημήτριος, νέος ἀγένειος μουστακίζων.

Ὁ ἅγιος Προκόπιος, νέος ἀγένειος.

Ὁ ἅγιος Νέστωρ, νέος ἀγένειος.

Ὁ ἅγιος Θεόδωρος ὁ Τίρων, μαυρογένης, τὰς τρίχας ἄνωθεν τῶν ὠτίων ἔχων.

Ὁ ἅγιος Θεόδωρος ὁ Στρατηλάτης, σγουροκέφαλος, διχαλογένης.

Ὁ ἅγιος Μερκούριος, νέος ἀρχιγένης.

Ὁ ἅγιος Ἀρτέμιος ὅμοιος τοῦ Χριστοῦ τὸ εἶδος.

Ὁ ἅγιος Νικήτας καὶ αὐτὸς ὅμοιος αὐτῷ.

Ὁ ἅγιος Μηνᾶς ὁ Αἰγύπτιος, γέρων στρογγυλογένης.

Ὁ ἅγιος Βίκτωρ καὶ Βικέντιος, νέοι ἀγένειοι.

Ὁ ἅγιος Ἰάκωβος ὁ Πέρσης, νέος μαυροδιχαλογένης.

Ὁ ἅγιος Καλλίστρατος, μαυροδιχαλογένης.

Ὁ ἅγιος Γουρίας, γέρων κοντογένης.

Ὁ ἅγιος Σαμωνᾶς, νέος κοντογένης.

Ὁ ἅγιος Ἄβιβος, διάκονος στρογγυλογένης.

Ὁ ἅγιος Ἀρέθας, γέρων ἀσπρογένης.

Ὁ ἅγιος Μηνᾶς ὁ Καλλικέλαδος, νέος ὀξυγένης.

Ἑρμογένης, Εὔγραφος, Εὐστράτιος ὁ Πλακίδας πολιός, στρογγυλογένης.

Ἀγάπιος, Θεόπιστος, νέοι, καὶ ἡ μήτηρ αὐτῶν Θεοπίστη.

Σέργιος καὶ Βάκχος ἀγένειοι, καὶ οἱ δύο ὅμοιοι.

Ἑρμύλος, γέρων στρογγυλογένης.

Στρατόνικος, νέος ἀγένειος.

Γυμνάσιος, νέος στρογγυλογένης.
Ναζάριος, νέος σιμογένης.
Πρωτάσιος, νέος κοντογένης.
Κέλσιος, νέος ἀγένειος.
Πρόβος, γέρων στρογγυλογένης.
Τάραχος, νέος.
Ἀνδρόνικος, νέος ἀρχιγένης.
Μαρκιανός, νέος βαστάζων καλαμάριον.
Μαρτύριος δὲ ὅμοιος αὐτῷ, καὶ αὐτὸς ὁμοίως.
Φιλάδελφος, νέος στρογγυλογένης.
Ὀνησιφόρος, νέος ὀλιγογένης.
Σισίννιος, γέρων κοντογένης.
Πάμφιλος, Εἰρήναρχος, Πλάτων, ὅλοι νέοι.
Ἀδριανός, νέος ὀξυγένης.
Κορώνιος, στρογγυλογένης.
Λουκιανός, Λεόντιος, νέοι ἀγένειοι.
Νεόφυτος, νέος ὀλιγογένης.
Μαρῖνος, ἀρχιγένης.
Μώκιος, νέος ἀρχιγένης.
Χριστοφόρος ὁ Ῥέπρεβος ὁ ἐκ τῶν κυνοκεφάλων.
Φλῶρος καὶ Λαῦρος, Βονιφάτιος, Αἰμιλιανός, νέοι.
Ἀναστάσιος ὁ ἐν Θεσσαλονίκῃ, νέος.
Ἀκάκιος, ὅμοιος τῷ ἁγίῳ Μερκουρίῳ.
Λουκιανὸς μιξοπόλιος, στρογγυλογένης.
Ἀγαθόνικος, νέος ὀλιγογένης.
Εὐλάμπιος, νέος στρογγυλογένης.
Νικηφόρος, νέος στρογγυλογένης.
Οὔαρος, γέρων κοντογένης.
Μώκιος, νέος ὀλιγογένης.
Ζηνόβιος, νέος ὀλιγογένης.
Μαῦρος, νέος στρογγυλογένης.
Πολύευκτος, νέος κοντογένης.
Λέων ἀπὸ Κορυδαλᾶ, ὅμοιος τῷ ἁγίῳ Προκοπίῳ.
Ἀλφειός, νέος στρογγυλογένης.
Γοβδελαᾶς, νέος ἀγένειος.
Λοῦππος ὅμοιος αὐτῷ.
Ἰωάννης ὁ νεομάρτυς, νέος, ὅμοιος Νέστορος.
Κήρυκος τριετὴς καὶ μήτηρ αὐτοῦ Ἰουλίττα.
Ἰουλιανὸς ὁ Αἰγύπτιος, νέος ἀρχιγένης.
Μάμας, νέος ἀγένειος.
Γόρδιος, νέος ὀξυγένης.
Ἀκίνδυνος, νέος ὀξυγένης.
Πηγάσιος, νέος στρογγυλογένης.
Ἀφθόνιος, νέος διχαλογένης.
Ἐλπιδηφόρος καὶ Ἀνεμπόδιστος ἀγένειος.
Εὐστράτιος μαυροδιχαλογένης.

Οἱ πέντε μάρτυρες· Εὐστράτιος· Αὐξέντιος, γέρων ἀσπρογένης· Μαρδάριος μαυροστρογγυλογένης· Ὀρέστης, νέος ἀγένειος· Εὐγένιος, γέρων στρογγυλογένης· Σεβαστιανός, νέος ἀρχιγένης.

Λουκιανός, νέος σιμογένης.

Ἀνδρέας ὁ στρατηλάτης, σγουροκέφαλος γέρων.

Οἱ δέκα μάρτυρες οἱ ἐν Κρήτῃ· Θεόδουλος, Σατορνῖλος, Εὔπορος, Γελάσιος, Εὐνικιανός, Ζωτικός, Ἀγαθόπους, Βασιλείδης, Εὐάρεστος, Πόντιος.

Οἱ ἅγιοι ἑπτὰ παῖδες, οἱ Μακκαβαῖοι· πρῶτος Ἀβὶβ μουστακίζων, Γουρίας, Ἀντώνιος, Ἐλεάζαρ, Εὐσεβωνᾶς, Μαρκελλος, Σαμωνᾶς καὶ ἡ μήτηρ αὐτῶν Σολομονὴ καὶ ὁ διδάσκαλος αὐτῶν Ἐλεάζαρ.

Οἱ ἅγιοι ἑπτὰ παῖδες οἱ ἐν Ἐφέσῳ· Μαξιμιλιανός, Ἰάμβλιχος, Μαρτινιανός, Διονύσιος, Ἐξακουστοδιανός, Κωνσταντῖνος, νέοι κοιμώμενοι ἐν τῷ σπηλαίῳ· Θύρσος, Λεύκιος, Καλλίνικος, Φιλήμων, Ἀπολλώνιος, Ἀρριανός, Βασιλίσκος, Θεόδουλος, Ἀγαθόπους, Κρήσκεντος ὁ ἐν Μύροις, Μαυρίκιος.

Οἱ ἅγιοι μ' μάρτυρες οἱ ἐν Σεβαστείᾳ.

Ἡσύχιος, νέος μουστακίζων.

Μελίτων, νέος ἀνδρεῖος.

Δόμνος, γέρων ὀξυγένης.

Εὔνικος, νέος στρογγυλογένης.

Οὐάλης, ὀξυγένης.

Βιβιανός, γέρων ὀξυγένης.

Κλαύδιος, γέρων κοντογένης, σγουροκέφαλος.

Θεόδουλος, ραντοπόλιος, ὀξυγένης.

Εὐτύχιος, γέρων ὀξυγένης·

Σμάραγδος, νέος μουστακίζων.

Πρίσκος, γέρων φαγογένης.

Ἰωάννης, νέος ὀξυγένης, ξανθίας, μουστακιζων

Ἡλιανός, γέρων ὀξυγένης.

Σισίννιος, ἀγένειος.

Κυρίων, νέος ἀγένειος.

Ἀγγίας, ὅμοιος αὐτῷ.

Φλάβιος, νέος σγουροκέφαλος.

Ἀέτιος, ἀρχιγένης.

Ἀκάκιος, νέος ὀξυγένης, διχαλογένης.

Ἐκδίκιος, νέος ἀγένειος.

Λυσίμαχος, γέρων ὀξυγένης εἰς δύο χωρίζων (τὰ γένεια).

Ἀλέξανδρος, νέος ὀξυγένης, σγουροκέφαλος.

Ἠλίας, νέος στρογγυλογένης.

Κάνδιδος, νέος ὀξυπόλιος, κοντογένης.

Θεόφιλος, νέος ὀξυγένης.

Δομετιανός, νέος ἀγένειος.

Γάϊος, ἀρχιγένης.

Γοργόνιος, ὀξυγένης.

Ἀθανάσιος, κοντογένης.

Κύριλλος, νέος ἀγένειος, μέσον αὐτῶν τελευτῶν.

Σακέρδων, ὀξυκοντογένης.

Νικόλαος, μουστακίζων.

Οὐαλέριος, νέος κοντογένης.

Φιλοκτίρμων, νέος στρογγυλογένης.

Σεβεριανός, νέος σπανος ἀναφαλαντος.

Χουδίων.

Δαδιανός καὶ εἷς λιποτακτήσας ὑπὸ τοῦ πυρος ἀνηλώθη καὶ ὑστερήθη μαρτυρίου

τὸν στέφανον· ὁ δὲ φύλαξ αὐτῶν ὁ δήμιος ἡνώθη τοῖς μάρτυσι καὶ ἔλαβεν ἀντ' ἐκείνου τὸν στέφανον.

Εἰς τὸ δεξιὸν τοῦ ναοῦ ἔσω τῶν θυρῶν γράφε οὕτως·

Ὁ ἅγιος Κωνσταντῖνος, ἡ ἁγία Ἑλένη.

Εἰς τὸ ἀριστερόν·

Οἱ ἅγιοι Τεσσαράκοντα· τὴν ἁγίαν Μαρῖναν κρατοῦσαν τὸν διάβολον ἐκ τῶν τριχῶν καὶ τύπτουσαν μετὰ σφύρας.

Αἱ ἅγιαι μεγαλομάρτυρες γυναῖκες· ἡ ἁγία πρωτομάρτυς καὶ ἰσαπόστολος Θέκλα, ἡ ἁγία Αἰκατερῖνα, ἡ ἁγία Κυριακή, ἡ ἁγία Μαρῖνα, Φωτεινή, Εἰρήνη, Παρασκευή, Εὐφημία, Χρηστῖνα, Εὐδοκία, Γλυκερία, Ἰουλιανή, Χαριτίνη, Ἀγάθη, Ἀναστασία, Ῥιψιμία, Ἀνυσία, Εἰρήνη, Ἀναστασία ἡ Φαρμακολύτρια, Κασδόα, Μηνοδώρα, Νυμφοδώρα, Μητροδώρα, Εὐλαμπία, Εὔοδος, Καλλίστη, Ἑρμογένη.

Αἱ ἅγιαι ὁσιομάρτυρες γυναῖκες· Εὐδοκία, Φεβρωνία, Παρασκευή, Εὐγενία.

Αἱ ἐν ἀσκήσει λάμψασαι ἅγιαι γυναῖκες· Μαρία ἡ Αἰγυπτία, Εὐπραξία, Εἰρήνη, Μελάνη, Εὐφροσύνη, Εὐφημία, Θωμαΐς, Ἀναστασία ἡ Ῥωμαία μεγαλόσχημος οὖσα, Ματρώνα, Μακρῖνα, Σοφία, Πελαγίαι 2, Θεοδώρα, Θεοφανώ, Εὐδοκία, Εὐγενία, Δομνίκα, Θεοδοσία, Φεβρωνία, Τατιανή, Θεοδώρα ἡ ἐν Θεσσαλονίκῃ, Παϊσία, Ἀγαθόκλεια, Καλλίστη, Λαυρεντία, Φιλαδελφία, Θεοδότη, Ἰουλία, Θεοφιλώ, Γρηγορία, Προκοπία, Βερονίκη, Ξένη, Εὐανθία.

Αἱ ἅγιαι γυναῖκες, ὧν ἡ μνήμη τὸν Σεπτέμβριον· Μάρθα, Εὐανθία, Καλλίστη, Βασίλισσα, Ἑρμογένη, Εὔοδος, Χαριτίνη, Μηνοδώρα, Μητροδώρα, Νυμφοδώρα, Θεοδώρα, Θεόκλεια, Μελιτίνη, Σοφία, Πίστις, Ἐλπίς, Ἀγάπη, Λουκία, Θεοδότη, Εἰρήνη, Σοφία, Ἀριάδνη, Σωσάννα, Θεοπίστη, Γεραΐα, Ξανθίππη, Πολυξένη, Θέκλα, Εὐφροσύνη, Μαρία, Ἀρισταινέτη, Φιλαδελφία, Γρηγορία, Σεβαστιανή, Πετρωνία, Κασδόα, Ῥιψιμία, Γαϊανή.

Οἱ ὅσιοι θεοφόροι πατέρες ἡμῶν οἱ ἐν ἀσκήσει λάμψαντες· Ὁ ἅγιος Ἀντώνιος ὁ Μέγας γέρων κοντοδιχαλογένης, διαφαρίζων ὀλίγον· φορῶν σκέπασμα λέγει· "Μὴ ἀπατᾷ, ὦ μοναχέ, χορτασία κοιλίας· ὑποταγὴ μετ' ἐγκρατείας ὑποτάσσει τοὺς δαίμονας· ἄλλον ἐγὼ οὐκέτι φοβοῦμαι ἢ τὸν θεόν· ἀλλ' ἀγαπῶ αὐτόν· ἡ γὰρ τελεία ἀγάπη ἔξω βάλλει τὸν φόβον". Ἄλλο· "Ἄνθρωπος φυγὼν κωμαγωγὰς τοῦ βίου, | ἐχθρῶν ἀσάρκων δυσμενῶν ἀλαστόρων | βέλεμνα τόξα φαρέτρας οὐ φοβεῖται". Ἄλλο· "Καπνὸς τὸ σμῆνος τῶν μελισσῶν ἐκτρέπει, | ψαλμῳδία δὲ τὸ πλῆθος τῶν δαιμόνων | βάλλει κεραυνοῖ πυρπολεῖ καταφλέγει".

Σάββας ὁ Ἡγιασμένος ἔχων τὸν πώγωνα μαδαρόν, τὰ γένειά του εἰς δύο χωρισμένα, λέγει· "Τείχισον τὸ κελλίον σου, ὦ μοναχέ, καὶ ἄλλο κελλίον μὴ παράβαλε". Ἄλλο· "Ὅστις σῶμα ἐνίκησεν, οὗτος φύσιν ἐνίκησεν· ὁ δὲ τὴν φύσιν νικήσας πάντως ὑπὲρ φύσιν ἐγένετο". Ἄλλο· "Οἴκῳ προσελθὼν τοῦ Θεοῦ καὶ δεσπότου | εὖξαι πρεπόντως τῶν κακῶν εὑρεῖν λύσιν· | βιωτικῶν δὲ πᾶν ἀποτρέπει βάρος". Ἄλλο· "Τυφὼν μαραίνει τὸ δροσῶδες τῶν φύλλων, | τῦφος δὲ τεφροῖ τῆς ψυχῆς λαμπηδόνα· | φύγωμεν οὐκοῦν παθῶν τὰ ψυχοφθόρα".

ΒΙΒΛΙΟΝ ΤΗΣ ΖΩΓΡΑΦΙΚΗΣ ΤΕΧΝΗΣ

περιέχον τὰς ἑορτὰς τοῦ Χριστοῦ καὶ τῆς Θεοτόκου, ἔτι δὲ καὶ τὰ ὀνόματα τῶν προφητῶν καὶ τὰ ὑπ' αὐτῶν προφητευθέντα καὶ τῶν ἀποστόλων καὶ τῶν λοιπῶν ἁγίων τὰς ἡλικίας καὶ τὰ εἴδη τῶν προσώπων αὐτῶν καὶ τῶν τριχῶν, πῶς δεῖ γράφειν αὐτούς, καὶ ἕτερα πλεῖστα ἀναγκαῖα τῆς ζωγραφικῆς τέχνης καὶ ὠφέλιμα.

Περὶ τῆς γεννήσεως τοῦ Χριστοῦ.

Ὁ προφήτης Ἀμὼς εἶπε περὶ τῆς γεννήσεως τοῦ Χριστοῦ· "Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀναστήσω σκηνὴν Δαβὶδ τὴν πεπτωκυῖαν".

Μιχαίας· "Καὶ σύ, Βηθλεέμ, οἶκος τοῦ Εὐφραθά, μὴ ὀλιγοστὸς εἶ τοῦ εἶναι ἐν χιλιάσιν Ἰούδα· ἐκ σοῦ γάρ μοι ἐξελεύσεται ἡγούμενος, τοῦ εἶναι ἄρχοντα τῷ Ἰσραήλ".

Τοῦ αὐτοῦ· "Καὶ σύ, Βηθλεέμ, γῆ Ἰούδα, οὐδαμῶς ἐλαχίστη εἶ ἐν ἡγεμόσιν Ἰούδα· ἐκ σοῦ γὰρ ἐξελεύσεται ἡγούμενος, ὅστις ποιμανεῖ τὸν λαόν μου τὸν Ἰσραήλ".

Ἠσαΐας· "Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται καὶ τέξεται υἱόν".

Τοῦ αὐτοῦ· "Ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται".

Τοῦ αὐτοῦ· "Παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν".

Βαρούχ, ἀλλὰ τοῦ Ἱερεμίου γράφεται· "Οὗτος ὁ Θεὸς ἡμῶν· οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν· ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης.

Δαβίδ· "Καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον καὶ ὡσεὶ σταγὼν ἡ στάζουσα ἐπὶ τὴν γῆν".

Τοῦ αὐτοῦ· "Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε".

Περὶ τῆς Ὑπαπαντῆς.

Μωϋσῆς· "Πᾶν ἄρσεν διανοῖγον μήτραν ἅγιον τῷ Κυρίῳ κληθήσεται, καὶ τοῦ δοῦναι θυσίαν κατὰ τὸ εἰρημένον ἐν νόμῳ Κυρίου, ζεῦγος τρυγόνων ἢ δύο νεοσσοὺς περιστερῶν".

Ἠσαΐας· "Ἰδοὺ Κύριος κάθηται ἐπὶ νεφέλης κούφης καὶ ἥξει εἰς Αἴγυπτον".

Τοῦ αὐτοῦ· "Ὢ τάλας ἐγώ, ὅτι κατανένυγμαι, ὅτι ἄνθρωπος ὢν καὶ ἀκάθαρτα χείλη ἔχων".

Ἄννα ἡ προφῆτις· "Τοῦτο τὸ βρέφος οὐρανὸν καὶ γῆν ἐστερέωσε".

Ἡ Βάπτισις.

Ναούμ· "Τάδε λέγει Κύριος· κατάρχων ὑδάτων πολλῶν καὶ οὕτως διαστήσονται".

Ἡσαΐας· "Ἀντλήσατε ὕδωρ εὐφροσύνης ἐκ τῶν πηγῶν τοῦ σωτηρίου".

Τοῦ αὐτοῦ· "Εὐφράνθητι ἔρημος διψῶσα· ἀγαλλιάσθω ἔρημος καὶ ἀνθείτω ὡς κρίνον".

Τοῦ αὐτοῦ· "Οἱ διψῶντες πορεύεσθε ἐφ' ὕδωρ.

Τοῦ αὐτοῦ· "Λούσασθε καὶ καθαροὶ γίνεσθε· ἀφέλεσθε τὰς πονηρίας ἀπὸ τῶν καρδιῶν ὑμῶν".

Δαβίδ· "Ἡ θάλασσα εἶδε καὶ ἔφυγεν, ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω".

Τοῦ αὐτοῦ· "Εἴδοσάν σε ὕδατα, ὁ Θεός· εἴδοσάν σε ὕδατα καὶ ἐφοβήθησαν".

Ἡ ἔγερσις τοῦ Λαζάρου.

Ἰεζεκιήλ· "Τάδε λέγει Κύριος· ἀνοίγω τὰ μνήματα ὑμῶν καὶ ἀνάξω ὑμᾶς ἐκ τῶν μνημάτων καὶ εἰσάξω ὑμᾶς εἰς τὴν τοῦ Ἰσραήλ, καὶ γνώσεσθε ὅτι ἐγώ εἰμι Κύριος".

Ἡ Βαϊοφόρος.

Σοφονίας· "Χαῖρε σφόδρα, θύγατερ Σιών· κήρυσσε, θύγατερ Ἱερουσαλήμ"

Ζαχαρίας νέος· "Χαῖρε σφόδρα, θύγατερ Σιών· κήρυσσε, θύγατερ Ἱερουσαλήμ· ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι καὶ σῴζων".

Δαβίδ· "Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον". Τοῦ αὐτοῦ· "Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου".

Ἡσαΐας· "Εἴπατε τῇ θυγατρὶ Σιών· ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι πραῢς καὶ ἐπιβεβηκὼς ἐπὶ ὄνον καὶ πῶλον, υἱὸν ὑποζυγίου".

Εἰς τὴν Μεταμόρφωσιν.

Μιχαίας· "Δεῦτε ἀναβῶμεν εἰς τὸ ὄρος Κυρίου καὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ Ἰακώβ".

Δαβίδ· "Θαβὼρ καὶ Ἑρμὼν ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται".

Εἰς τὴν Προδοσίαν.

Ζαχαρίας· "Πατάξω τὸν ποιμένα καὶ διασκορπισθήσονται τὰ πρόβατα τῆς ποίμνης".

Τοῦ αὐτοῦ εἰς τὰ τριάκοντα ἀργύρια· "Καὶ εἶπε Κύριος πρός με· κάθες αὐτὰ εἰς τὸ χωνευτήριον. Λέγει ὁ Ἰούδας· Τί μοι θέλετε δοῦναι κἀγὼ ὑμῖν παραδώσω αὐτόν; Οἱ δὲ ἐπέδωκαν αὐτῷ τριάκοντα ἀργύρια".

Ὁ Δεῖπνος ὁ Μυστικός, ἡ Μετάδοσις, ἡ Μετάληψις, ὁ Νιπτήρ.

Ἐὰν θέλῃς, ποίησον τὸν ἅγιον Κοσμᾶν μετὰ χάρτου λέγοντα οὕτως·

Τροπάρ. "Ἡ τὸ ἄσχετον καὶ ὑπερῷον ἐν αἰθέρι ὕδωρ, ἡ ἀβύσσους χαλινοῦσα καὶ θαλάσσας ἀναχαιτίζουσα θεοῦ σοφία ὕδωρ νιπτῆρι βάλλει, πόδας ἀποπλύνει δὲ δούλων δεσπότης".

Εἰς τὴν Μετάδοσιν. Λέγει ὁ Χριστός· "Λάβετε, φάγετε, τοῦτό μού ἐστι τὸ σῶμα τὸ ὑπὲρ ὑμῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν".

Εἰς τὴν Μετάληψιν. "Πίετε ἐξ αὐτοῦ πάντες, τοῦτό μού ἐστι τὸ σῶμα τὸ τῆς Καινῆς Διαθήκης, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν".

Ἡ ῥᾳθυμία. — Ἡ προσευχή. — Ἡ προδοσία. — Ὁ ἀρχιερεὺς διέρρηξε τὰ ἱμάτια αὐτοῦ. — Ἡ τοῦ Πιλάτου ἀπόνιψις. — Ἐνδύουσιν αὐτὸν πορφύραν. — Ὁ ἐμπαιγμός.— Ὁ ἐμπτυσμός. — Ἡ τοῦ Πέτρου ἄρνησις. — Ἑλκόμενος ἐπὶ σταυροῦ. — Ἡ ἐπὶ τοῦ σταυροῦ ἀνάβασις. — Ὁ Ἰούδας μεταμεληθεὶς ἐπέστρεψε τὰ τριάκοντα ἀργύρια καὶ ἀπελθὼν ἀπήγξατο.

Εἰς τὸν Διαμερισμὸν τῶν Ἱματίων.

Δαβίδ· "Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον".

Εἰς τὴν παράστασιν τοῦ Πιλάτου.

Δαβίδ· "Παρέστησαν οἱ βασιλεῖς τῆς γῆς καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ χριστοῦ αὐτοῦ.

Εἰς τὸν Ἐμπαιγμόν.

Δαβίδ· "Ἤνοιξαν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν ὡς λέων ἁρπάζων καὶ ὠρυόμενος".

Ἡσαΐας· "Ἐγὼ δὲ οὐκ ἀπειθῶ, οὐδὲ ἀντιλέγω· τὸν νῶτόν μου δέδωκα εἰς μάστιγας".

Συρόμενος ἐπὶ σταυροῦ.

Ἱερεμίας· "Ἐγὼ δὲ ὡς ἀρνίον ἄκακον ἀγόμενον τοῦ θύεσθαι".

Εἰς τὴν Ἀνάβασιν τοῦ Σταυροῦ.

Ἡσαΐας· "Ἰδοὺ συνήσει ὁ παῖς μου καὶ ὑψωθήσεται σφόδρα

Εἰς τὴν Σταύρωσιν.

Μωϋσῆς· "Ὄψεσθε τὴν ζωὴν ὑμῶν κρεμαμένην ἀπέναντι τῶν ὀφθαλμῶν ὑμῶν

Γράφε καὶ οὕτως· "Ἰησοῦς Χριστὸς ὁ βασιλεὺς τῆς δόξης"

Ἡ Σταύρωσις.

Ὁ ἑκατόνταρχος εἶπεν· "Ἀληθῶς Θεοῦ υἱὸς ἦν οὗτος".

Ἀββακούμ· "Κύριε, εἰσακήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην· Κύριε, κατενόησα τὰ ἔργα σου καὶ ἐξέστην".

Ἰωνᾶς· "Ἐβόησα ἐν θλίψει μου πρὸς κύριον τὸν Θεόν μου καὶ εἰσήκουσέ μου".

Ζαχαρίας· "Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ οὐκ ἔσται φῶς καὶ οὐχ ἡμέρα καὶ οὐ νύξ, καὶ πρὸς ἑσπέραν ἔσται φῶς· καὶ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐξελεύσεται ὕδωρ ζῶν ἐξ Ἱερουσαλήμ".

Ἡσαΐας· "Ἀγαλλιᾶσθε καὶ εὐφραίνεσθε οἱ κατοικοῦντες Σιών, ὅτι ὑψώθη ὁ ἅγιος τοῦ Ἰσραὴλ ἐν μέσῳ σου".

Τοῦ αὐτοῦ· "Οἱ γὰρ ἀστέρες τοῦ οὐρανοῦ καὶ ὁ Ὠρίων καὶ πᾶς ὁ κόσμος τοῦ οὐρανοῦ τὸ φῶς αὐτῶν οὐ δώσουσι καὶ σκοτισθήσεται τοῦ ἡλίου ἀνατέλλοντος, καὶ ἡ σελήνη οὐ δώσει τὸ φῶς αὐτῆς".

Τοῦ αὐτοῦ· "Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη καὶ ὡς ἀμνὸς ἄκακος ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος".

Στίχοι. Τὸ φρικτὸν ἐγχείρημα τῶν Ἰουδαίων,
πῶς τὸν Θεὸν σταυροῦσι λῃστῶν ἐν μέσῳ.

Τῶν λῃστῶν τὰ ὀνόματα.

Ὁ ἐκ δεξιῶν Γεσδᾶς ὑπῆρχεν ἀπὸ Ἱεριχώ. Ὁ βλασφημῶν ἐξ ἀριστερῶν Δεσμᾶς ὑπῆρχε Γαλιλαῖος. Ὁ πρῶτος, ἤγουν ὁ Γεσδᾶς ἔλεγε τῷ Ἰησοῦ· "Μνήσθητί μου, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου"· καὶ ὁ Χριστὸς πρὸς αὐτόν· "Ἀμὴν λέγω σοι, σήμερον μετ' ἐμοῦ ἔσει ἐν τῷ Παραδείσῳ".

Ἡ Ἀποκαθήλωσις.

Ἠσαίας· "Ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ".

Στίχοι. Οἰμωζέτω, Θάνατε, Ἅδης, θρηνείτω·
σὺ δὲ τριταῖον τὸν σὸν υἱὸν ἐκδέχου.

Εἰς τὸν Ἐπιτάφιον Θρῆνον.

Ὁ ἐπιτάφιος θρῆνος Ἠσαΐου· "Καὶ εἴδομεν αὐτὸν καὶ οὐκ εἶχεν εἶδος οὐδὲ κάλλος, ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον καὶ ἐκλεῖπον παρὰ πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων".

Ἡ Ἀνάστασις.

Ὠσηέ· "Ποῦ σου, Θάνατε, τὸ κέντρον; ποῦ σοῦ, Ἅδη, τὸ νῖκος";

Ἀββακούμ· "Ἐπὶ τῆς φυλακῆς μου στήσομαι καὶ ἐπιβήσομαι ἐπὶ πετρῶν καὶ ἀποσκοπεύσω καὶ γνώσομαι, ὅτι ὁ ἐρχόμενος ἥξει καὶ οὐ χρονιεῖ".

Δαβίδ· "Ἀναστήτω ὁ Θεὸς καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ".

Τοῦ αὐτοῦ· "Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος· ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ".

Εἰς τὸν Λίθον.

Ὁ λίθος· "Γυναῖκες ἐρχόμεναι ἀπὸ θέας δεῦτε, οὐ γὰρ λαός ἐστιν ἔχων σύνεσιν".

Ἡ Ἀνάληψις.

Ἠσαΐου· "Ἐρύθημα ἱματίων αὐτοῦ ἐκ Βοσόρ· οὗτος ὡραῖος ἐν στολῇ αὐτοῦ".

Δαβίδ· "Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος".

Ἡ Πεντηκοστή.

Ἰωήλ· "Ἐν ταῖς ἡμέραις ἐκείναις ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν".

Ἠσαΐου· "Τάδε λέγει Κύριος· Λήψομαι ὑμᾶς ἐκ τῶν ἐθνῶν καὶ ἀθροίσω ὑμᾶς ἐκ πασῶν τῶν γενεῶν".

Ἡ Κοίμησις τῆς Θεοτόκου.

Δαβίδ· "Ἀνάστηθι, Κύριε, εἰς τὴν ἀνάπαυσίν σου, σὺ καὶ ἡ κιβωτὸς τοῦ ἁγιάσματός σου".

Ὁ ἅγιος Ἰωάννης ὁ Δαμασκηνὸς μετὰ χάρτου λέγων· "Παρθένοι νεάνιδες, σὺν Μαριὰμ τῇ προφήτιδι ᾠδὴν τὴν ἐξόδιον νῦν ἀλαλάξατε· ἡ παρθένος γὰρ καὶ μόνη Θεοτόκος πρὸς λῆξιν οὐράνιον διαβιβάζεται".

Στίχοι. Ἀπόστολοι στάζουσιν ἐκ νεφῶν δρόσον
πρὸς τὸν θεοδρόσιστον ἐξ ὕψους πόκον,
σταγὼν δὲ Χριστὸς πνεῦμα μητρὸς λαμβάνει.

Ἰεζεκιήλ· " Ἡ πύλη αὕτη κεκλεισμένη ἔσται καὶ ἀνοιχθήσεται, καὶ οὐδεὶς οὐ μὴ διέλθῃ δι' αὐτῆς ".

Εἰς τὴν Εἴσοδον τῆς Θεοτόκου.

Τὰ Ἅγια τῶν Ἁγίων. Δαβίδ· " Ἀπενεχθήσονται τῷ βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς ".

Ἐκ τῶν μετὰ τὴν ἀνάστασιν καὶ τῶν πρὸ ταύτης τελεσθέντων Χριστῷ.

Ἡ Ψηλάφησις τοῦ Θωμᾶ.

Κυριακὴ τῶν Μυροφόρων. (Ὁ Ἰησοῦς) λέγων (ταῖς) γυναιξί· " Χαίρετε ".

Εἰς τὴν Μεσοπεντηκοστήν. " Σήμερον πεπλήρωται ἡ γραφὴ αὕτη ἐν τοῖς ὠσὶν ὑμῶν ".

Ἰώμενος τὸν παράλυτον.

Διαλεγόμενος τῇ Σαμαρείτιδι.

Ἰώμενος τοὺς ἐν ποικίλαις νόσοις.

Ἰώμενος τὸν ὑδρωπικόν.

Ἰώμενος τοὺς δύο δαιμονιζομένους.

Τὸ ὕδωρ εὐλογήσας ἐν Κανᾷ τῆς Γαλιλαίας οἶνον ἐποίησε.

Πρὸς τοὺς ἀποστόλους· " Βάλετε εἰς τὰ δεξιὰ μέρη τοῦ πλοίου τὰ δίκτυα καὶ εὑρήσετε ".

Νηστεύσας ἡμέρας τεσσαράκοντα ὕστερον ἐπειράσθη ὑπὸ τοῦ διαβόλου λέγοντος· "Εἰ υἱὸς εἶ τοῦ Θεοῦ, εἰπέ, ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται".

Ὁ Χριστὸς λέγων· " Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ὁ ἄνθρωπος, ἀλλ' ἐν παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ".

Περιπατῶν ἐν τῇ θαλάσσῃ.

Ἰώμενος τοὺς δέκα λεπρούς.

" Ζακχαῖε, σπεύσας κατάβηθι· σήμερον γὰρ ἐν τῷ οἴκῳ σου δεῖ με μεῖναι ".

Ἰώμενος τὸν κωφόν.

Ἰώμενος τὴν πενθερὰν τοῦ Πέτρου.

" Ἐὰν μὴ ἐπιστραφῆτε καὶ γένησθε ὡς τὰ παιδία ταῦτα, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τοῦ Θεοῦ ".

Διώκων τοὺς πωλοῦντας ἐν τῷ ἱερῷ λέγων· " Μὴ ποιεῖτε τὸν οἶκον τοῦ πατρός μου οἶκον ἐμπορίου ".

Καταρώμενος τὴν συκῆν.

Ἰώμενος τὴν συγκύπτουσαν.

Οἱ ἐν τοῖς τροχοῖς ἅγιοι.

Ὁ ἅγιος Πολύκαρπος. — Ἰγνάτιος ὁ Θεοφόρος. — Σίλβεστρος. — Ἐλευθέριος. — Κύριλλος. — Ἀχίλλειος. — Παρθένιος — Κλήμης. — Ἀγαθάγγελος. — Βλάσιος.— Βλάσιος ὁ βουκόλος βαστῶν μοσχάριον εἰς τὰς χεῖρας.

Οἱ Ἀνάργυροι.

Παντελεήμων. — Ἑρμόλαος. — Κοσμᾶς. — Δαμιανός.— Κῦρος.—Ἰωάννης. — Σαμψών. — Διομήδης. — Θαλλέλαιος.— Τρύφων. — Σέργιος. — Βάκχος. — Χριστοφόρος. — Εὐγένιος. — Αὐξέντιος. — Εὐστράτιος. — Μαρδάριος. — Ὀρέστης. — Μηνᾶς. — Βίκτωρ. — Βικέντιος. — Ἀκίνδυνος. — Πηγάσιος. — Ἀφθόνιος. — Ἐλπιδηφόρος.— Ἀνεμπόδιστος. — Ἀνανίας, Ἀζαρίας, Μισαήλ. — Κήρυκος. — Ἰουλίττα. — Μαρῖνα.—Κυ-

ριακή. — Βαρβάρα. — Παρασκευή (ἡ) θαυματουργός. — Θέκλα ἡ πρωτομάρτυς. — Αἰκατερῖνα. — Εἰρήνη. — Θεοδώρα ἡ Μυροβλύτις. — Μαρία ἡ Μαγδαληνή. — Ἄννα.

Εἰς τὴν καμάραν τοῦ βήματος.

ΜΗΡ ΘΟΥ ἡ τῶν Οὐρανῶν Πλατυτέρα.

Εἰς τὴν κόγχην τῆς προθέσεως ὁ Μελισμός. — Καὶ εἰς τὴν καμάραν, ἐὰν θέλῃς, γράφε οὕτως. — Καὶ εἰς τὴν τράπεζαν τῶν μοναχῶν στίχοι·

Ὄντως ζῶν ἄρτος εἰμὶ καὶ κόσμου φάος.
Ἔρχεσθε, φωτίζεσθε καὶ τρέφεσθέ μοι.

Οἱ ἀρχιερεῖς τοῦ γύρου οὕτως.

Ὁ ἅγιος Βασίλειος ἐπὶ χάρτου· " Ὁ Θεὸς ὁ θεὸς ἡμῶν, ὁ τὸν οὐράνιον ἄρτον, τὴν τροφὴν τοῦ παντὸς κόσμου, τὸν κύριον ἡμῶν καὶ θεὸν Ἰησοῦν Χριστὸν ἐξαποστείλας ".

Γρηγόριος ὁ Θεολόγος· " Ὁ Θεὸς ὁ ἅγιος ἀναπαυόμενος ".

Ἰωάννης ὁ Χρυσόστομος· " Οὐδεὶς ἄξιος τῶν συνδεδεμένων ταῖς σαρκικαῖς ἐπιθυμίαις ".

Ὁ ἅγιος Ἀθανάσιος· " Ἐξαιρέτως τῆς παναγίας ἀχράντου ὑπερευλογημένης δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας ".

Ὁ ἅγιος Κύριλλος· " Πάλιν καὶ πολλάκις σοὶ προσπίπτομεν καὶ σοῦ δεόμεθα ".

Ὁ ἅγιος Γρηγόριος ὁ Νύσσης· " Ὁ εὐλογῶν τοὺς εὐλογοῦντάς σε, Κύριε ". Καὶ οἱ λοιποὶ τὰς λοιπὰς εὐχὰς τῆς λειτουργίας καὶ τὰς ἐκφωνήσεις.

Εἰς τὴν πρόθεσιν.

Ὁ ἅγιος Στέφανος ὁ πρωτομάρτυς. — Ῥωμανὸς ὁ μελῳδός. — Νικόλαος. — Σπυρίδων. — Πέτρος Ἀλεξανδρείας λέγων πρὸς τὸν Χριστόν· " Τίς σου τὸν χιτῶνα, Σῶτερ, διεῖλεν "; Ὁ Χριστὸς λέγει· " Οὗτος ὁ παγκάκιστος Ἄρειος, Πέτρε ". Πάλιν διὰ στίχων ὁ Πέτρος πρὸς τὸν Χριστόν·

" Χιτῶνα σεπτὸν τίς ὁ ῥηγνύς σου, Λόγε,
ὡς γυμνὸν ὀφθῆναί σου τῆς θείας δόξης;
μὴ δῆμος αὖθις Ἑβραίων παρανόμων
ἐφ' ἱματισμὸν κλῆρον ἐμβάλλουσί σου;

Ὁ Χριστός·

Οὐκοῦν θεοκτονοῦσιν Ἑβραῖοι πάλιν,
ὁ δ' ἀσεβὴς Ἄρειος, ἀρᾶς προστάτης,
λόγοις βδελυροῖς, τμητικοῖς ὑπὲρ ξίφος,
ἀπαμφιάζει πατρικῆς ἐξουσίας
καὶ συναποστερεῖ με τῆς τιμῆς τῆς ἐνθέου.

Ὁ ἅγιος Συμεὼν ὁ στυλίτης. — Ὁ Δανιὴλ ὁ στυλίτης.

Ἔξω ἀπὸ τὸ βῆμα γράφονται.

Τρίμορφον, καὶ ἐὰν εἶναι μέγας ἀρχιερεύς, τὴν Θεοτόκον καὶ τὸν Πρόδρομον· εἰ δὲ ποιήσεις βασιλέα γράφε· " Ἰησοῦς Χριστὸς ὁ βασιλεὺς τῆς δόξης ".

Τὴν Θεοτόκον· " ΜΗΡ ΘΟΥ ἡ Παντάνασσα". Εἰ δὲ μετὰ γραμμάτων οὕτως· " ΜΗΡ ΘΟΥ".

Ἡ παράκλησις· (Ἡ Θεοτόκος) λέγουσα ἐπὶ χάρτου πρὸς τὸν Χριστὸν κόκκινα· "Δέξαι δέησιν τῆς σῆς μητρός, οἰκτῖρμον".

Ὁ Χριστὸς μαῦρα· "Τί, μῆτερ, αἰτεῖς"; — "Τὴν βροτῶν σωτηρίαν". — "Παρώργισάν με". — "Συμπάθησον, υἱέ μου". — "Ἀλλ' οὐκ ἐπιστρέφουσι" καὶ "Σῶσον χάριν".

Ὁ Πρόδρομος· "Ἤκουσας μητέρας ἱκετηρίαν, Λόγε· ἄκουσον κἀμοῦ τοῦ βαπτιστοῦ σου, Σῶτερ".

Εἰς δὲ τὸν Χριστὸν τὸ Εὐαγγέλιον· γράφε κατὰ τόπον· "Ταῦτα ἐντέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλοις". — "Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου· ὁ ἀκολουθῶν ἐμοὶ οὐ μὴ περιπατήσει ἐν τῇ σκοτίᾳ".

Ἄλλο εἰς τάφον· "Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐάν τις τὸν λόγον τὸν ἐμὸν τηρήσῃ, θάνατον οὐ μὴ θεωρήσῃ εἰς τὸν αἰῶνα".

Εἰς πύλην· "Ἐγώ εἰμι ἡ θύρα· δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται καὶ νομὴν εὑρήσει".

Ἕτερον· "Ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας τῶν προβάτων κλέπτης ἐστὶ καὶ λῃστής".

Ἕτερον· "Τὰ πρόβατα τὰ ἐμὰ τῆς φωνῆς μου ἀκούει, κἀγὼ γινώσκω αὐτά".

Ὅταν οἱ ἀπόστολοι τοῦ γύρου.

"Ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα· ὁ μενων ἐν ἐμοὶ κἀγὼ ἐν αὐτῷ".

Ἕτερον· "Ἀμὴν λέγω ὑμῖν, ὅτι ὅσα ἂν αἰτήσητε ἐν τῷ ὀνόματί μου, δώσω ὑμῖν".

Ἄλλο· "Ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ οὐκ ἔστι μου ἄξιος".

Ὅταν οἱ προφῆται γύρωθεν.

"Ὁ δεχόμενος προφήτην εἰς ὄνομα προφήτου μισθὸν προφήτου λήψεται".

Ἄλλο· "Καθὼς θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς ὁμοίως".

Ἄλλο· "Ὁ ἀκούων ὑμῶν ἐμοῦ ἀκούει, καὶ ὁ ἀθετῶν ὑμᾶς ἀθετεῖ τὸν ἀποστείλαντά με".

"Ὁ βασιλεὺς τῶν βασιλευόντων καὶ μέγας ἀρχιερεύς". "Ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου· εἰ ἐκ τοῦ κόσμου τούτου ἦν, ὁ κόσμος ἂν τὸ ἴδιον ἐφίλει".

Εἰς τὴν Δευτέραν Παρουσίαν ἢ εἰς πόρταν ἐπάνω ἢ ἔξω· "Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου".

Ὅπου ἂν θέλῃς· "Αἰτεῖτε καὶ δοθήσεται ὑμῖν· ζητεῖτε καὶ εὑρήσετε· κρούετε καὶ ἀνοιγήσεται ὑμῖν".

Ἕτερον· "Ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινὴ καὶ ὁ πατήρ μου ὁ γεωργός ἐστιν".

Ὅταν ποιήσῃς τὸν Χριστὸν μέγαν λέγει· "Ἐντολὴν καινὴν δίδωμι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους".

Εἰς τόπον κρίσεως· "Μὴ κρίνετε κατ' ὄψιν, ἀλλὰ τὴν δικαίαν κρίσιν κρίνετε".

Ἰησοῦς Χριστὸς ἡ εἰρήνη· "Εἰρήνην ἀφίημι ὑμῖν· εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν".

Ὅταν οἱ ἱεράρχαι μετὰ τῶν εὐαγγελίων, λέγουν· "Εἶπεν, ὁ Κύριος· ἐγώ εἰμι ἡ θύρα· δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ σωθήσεται καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται καὶ νομὴν εὑρήσει".

Εἰς κρίσιν· "Πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ".

Ἕτερον· "Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός· ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων".

Ἕτερον· "Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου· οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη".

Εἰς ὁσίους· "Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι ὑμετέρα ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ".

Εἰς μάρτυρας· "Προσέχετε ἀπὸ τῶν ἀνθρώπων· ἐπιβαλοῦσι γὰρ ὑμᾶς εἰς συναγωγὰς καὶ διώξουσιν ὑμᾶς".

Εἰς τάφους ἀνθρώπων· "Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς· ὁ ἐρχόμενος πρός με οὐ μὴ πεινάσῃ, καὶ ὁ πιστεύων εἰς ἐμέ, κἂν ἀποθάνῃ, ζήσεται".

Ἕτερον· "Ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα, ἐν ἐμοὶ μένει κἀγὼ ἐν αὐτῷ".

Ἡσαΐας· "Ἀναστήσονται οἱ νεκροὶ καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις καὶ εὐφρανθήσονται οἱ ἐν τῇ γῇ".

Ποίησον καὶ τὸν ἅγιον Ἰωάννην τὸν Δαμασκηνὸν μετὰ χάρτου λέγοντα· "Ποία τοῦ βίου τρυφὴ διαμένει λύπης ἀμέτοχος";

Ὁ ἅγιος Κοσμᾶς "Πάντα ματαιότης τὰ ἀνθρώπινα, ὅσα οὐχ ὑπάρχει μετὰ θάνατον".

Ὀνόματα ἐπιγραφόμενα τῷ Χριστῷ.

Ἰησοῦς Χριστός. — Ὁ Παντοκράτωρ. — Ὁ Ἐλεήμων. — Ὁ Οἰκτίρμων. — Ὁ Κραταιός. — Ὁ Ἀνεξίκακος. — Ὁ Πολυέλεος. — Ὁ Παντεπόπτης. — Ὁ Εὐεργέτης. — Ὁ Μεγαλόδωρος. — Ὁ Ἀντιλήπτωρ. — Ὁ Φωτοδότης. — Ὁ Ἀκατάληπτος. — Ὁ Γλυκὸς Ἰησοῦς. — Ὁ Ζωοδότης. — Ὁ Προαιώνιος. — Ὁ Φιλάγαθος. — Ὁ Πολυεύσπλαγχνος. — Ὁ Ἐμμανουήλ.

Ὅταν ποιήσῃς τὸν Χριστὸν βασιλέα· "Ὁ Βασιλεὺς τῶν Βασιλευόντων".

Ὅταν ἀρχιερέα· "Ὁ Μέγας Ἀρχιερεύς".

Ὅταν κριτήν· "Ὁ Δίκαιος Κριτής".

Ἄνω εἰς πόρταν ὁ Ὡραιοπυλιώτης· "Ἡ Θύρα τῶν Λογικῶν Προβάτων".

Ὀνόματα τῆς Θεοτόκου.

ΜΗΡ ΘΟΥ. — Ἡ Ὁδηγήτρια. — Ἡ Παντάνασσα. — Ἡ Πανύμνητος. — Ἡ Πανάχραντος. — Ἡ Ἄσπιλος. — Ἡ Ἐλεοῦσα. — Ἡ Ἐπίσκεψις τῶν καταπονουμένων. — Ἡ Ἐλπὶς τῶν Ἀπηλπισμένων. — Ἡ πάντων Χαρά. — Ἡ Μεσίτρια τῶν Χριστιανῶν. — Ἡ Ἀχειροποίητος. — Ἡ θεία Ἀλουργίς. — Ἡ τῶν Οὐρανῶν Ὑψηλοτέρα. — Ἡ Πηγὴ τῆς ζωῆς. — Ἡ Χώρα τῶν Ζώντων. — Ἡ Περίβλεπτος. — Ἡ Παράκλησις. — Ἡ τῶν Χερουβὶμ ἐνδοξοτέρα. — Ἡ Ἐγγυήτρια τῶν Ἁμαρτωλῶν. — Ἡ τῶν Ἀδικουμένων Προστάτις. — Ἡ Πυρφόρος Λαβίς. — Ἡ Ἄφλεκτος Βάτος.

Στίχοι εἰς τὴν Θεοτόκον βρεφοκρατοῦσαν·

Τὸ πῦρ κρατοῦσα θαῦμα τὸ πῶς οὐ φλέγει.

Ἡ Θεοτόκος·

Οὐ πυρπολεῖ με, κἂν ἐν ἀγκάλαις φέρω.

Ὅταν ὁ Χριστὸς εἶδε νηπιόθεν τὸν ἄγγελον φέροντα αὐτῷ τὰ σύμβολα τοῦ πάθους ἐν ταῖς ἀγκάλαις τῆς μητρός, στίχοι·

Τὸ χαῖρε τὸ πρὶν τῇ πανάγνῳ μηνύσας
τὰ σύμβολα νῦν τοῦ πάθους προδεικνύει·

Χριστὸς δὲ θνητὴν σάρκα ἐνδεδυμένος
πότμον δεδοικὼς δειλιᾷ ταῦτα βλέπων.

Ἕτεροι στίχοι εἰς καμάραν τῆς Θεοτόκου.

Ἐλαία κατάκαρπος ὡράθης, κόρη,
τὸν συμπαθῆ τεκοῦσα τοῦ Θεοῦ Λόγον.
Αἰτία τοίνυν οὖσα τῆς εὐσπλαγχνίας
τὸν οἰκτὸν αὔχεῖς εἰς ἐπώνυμον κλέος.
Φιλεῖς ἀπαύστως χερσὶ περιβαλοῦσα
τὸν σὲ χειρὶ κρατοῦντα, ὃν ἐκδυσώπει,
δέσποινα μῆτερ, ὑπὲρ τῶν σὲ φιλούντων
καὶ θεοτόκον ὄντως σε πιστῶς ὁμολογούντων.

Στίχοι εἰς τὸ «Ἄνωθεν οἱ Προφῆται».

Μωϋσῆς. Ἐγὼ βάτον κέκληκά σε, ἀνθρώπων σκέπη,
μυστήριον σὸν ἰδὼν ἐν βάτῳ ξένως.
Δανιήλ. Ὄρος νοητόν, οὗπερ ἐτμήθη λίθος,
πλάνην τρέπων κέκλημαί σε, βροτῶν σκέπη.
Ἰακώβ. Ἐγὼ καθ' ὕπνους ἱστορῶ κλίμακά σε
ἀπὸ γῆς μέχρι φθάνουσαν εἰς Χριστοῦ πόλον.
Δαβίδ. Ἐγὼ κιβωτόν, ἡγιασμένη κόρη,
κέκληκά σε πρὶν ὁ βλέπων ναοῦ χάριν.
Ἡσαΐας. Ἐγὼ δὲ πρώην λαβίδ' ἀνθρακοφόρον
κέκληκά σε πρίν, παρθένε, Χριστοῦ θρόνε.
Ζαχαρίας. Ἐγὼ λυχνίαν ἑπτάφωτόν σε εἶδον·
σοῦ ὁ τόκος ἔδειξε σὸν θαῦμα, κόρη.
Βαλαάμ. Ἐγὼ προεῖδον τὸ πρὶν ὡς μέλλεις, κόρη,
ἄστρον φαεινὸν τοῦ Θεοῦ τέξειν Λόγον".
Σολομών. Ἐγὼ σε κλίνην τοῦ βασιλέως, κόρη,
κέκληκά σε πρὶν κηρύττων σου τὸ θαῦμα.
Ἰεζεκιήλ. Πύλην ἐγὼ σε τοῦ Θεοῦ κεκλεισμένην,
δι' ἧς διῆλθε κύριος Θεὸς μόνος.
Ἀαρών. Ἐγὼ δὲ ἀνθήσασαν τὸν κτίσιν ἄνθος
ῥάβδον προκατήγγειλα ὑμνῶν, παρθένε.
Ἀββακούμ. Προβλεπτικὸν χάρισμα πνεύματι φέρων
εἶδόν σε δασὺ κατάσκιον ὄρος.
Γεδεών. Πόκον σε, ἁγνή, πρὶν κέκληκα, παρθένε·
ἔδειξέ μοι θαῦμα σὸν τόκον ὁ πόκος.
Ἱερεμίας. Ὁδόν σε εἶδον Ἰσραήλ, κόρη, νέαν
ζωῆς πρὸς τρίβους ὁδηγοῦσαν, παρθένε.

Εἰς τὸ τέμπλον τῶν ἁγίων ἀποστόλων τὰ ὀνόματα.

Ὁ ἅγιος Πέτρος. — Ὁ ἅγιος Ἰωάννης ὁ Θεολόγος. — Ἰάκωβος. — Βαρθολομαῖος. — Ἀνδρέας — Σίμων. — Ματθαῖος. — Μᾶρκος. — Φίλιππος. — Λουκᾶς. — Θωμᾶς.

Μαρτύρων ὀνόματα.

Ὁ ἅγιος Γεώργιος ὁ Τροπαιοφόρος· ὁ ἅγιος Δημήτριος ὁ μέγας δοὺξ Θεόδωρος ὁ στρατηλάτης· Θεόδωρος ὁ Τήρων· Προκόπιος· Μερκούριος· Ἀρτέμιος, Μηνας, Εὐστάθιος, Ἀγαθόνικος, Νέστωρ, Λοῦππος, Σεβαστιανός. Ἀνάργυροι· Κοσμᾶς, Δαμιανός. Οἱ ἐξ Ἀσίας, οἱ ἐξ Ἀραβίας, οἱ Ῥωμαῖοι· τρεῖς συζυγίαι ἀνάργυροι.

Εἰς τὸ δεξιὸν τοῦ ναοῦ εἰς τὸ τῶν θυρῶν ἔσω οὕτως.

Ὁ ἅγιος Κωνσταντῖνος, ἡ ἁγία Ἑλένη· εἰς δὲ τὸ ἀριστερὸν μέρος οἱ ἅγιοι τεσσαράκοντα μάρτυρες οἱ ἐν Σεβαστείᾳ.

Εἰς τὴν ἁγίαν Μαρῖναν κρατοῦσαν τὸν διάβολον ἐκ τῶν τριχῶν καὶ σφύραν τύπτουσαν στίχοι·

Ἕλκη φυγοῦσα δαιμόνων ἡ Μαρῖνα
Σατὰν καταβέβληκε καὶ τύπτει σφύρᾳ.

Εἰς δὲ τὴν τοῦ ναοῦ εἴσοδον ἵσταται ὁ ἀρχιστράτηγος μετὰ χάρτου ἐξεσπαθωμένος καὶ λέγων·

ΣΤΙΧΟΙ.

Τοῖς μὴ καθαραῖς προστρέχουσι καρδίαις
ἐν τῷ καθαρῷ τοῦ Θεοῦ θείῳ δόμῳ
ἀσυμπαθῶς μου τὴν σπάθην ἐκτιννύω.

Ἕτεροι. Θεοῦ στρατηγός εἰμι· τὴν σπάθην φέρω·
τείνω πρὸς ὕψος, ἐκφοβῶ Θεοῦ φόβῳ·
καταφρονητὰς ἐκδιχάζω συντόμως.

Ἕτεροι. Πρόδηλον ὡς ἵσταμαι καθωπλισμένος
βλέπων ἱλαρὰ τοὺς καλῶς προσιόντας,
τοὺς δὲ κακοὺς κτίννυμι τῷ ξίφει τῷδε.

Εἰς δὲ τὸν ἄρχοντα Γαβριὴλ γράφε οὕτως·

Ὀξυγράφου κάλαμον τῇ χειρὶ φέρων
τῶν εἰσιόντων συνταγὰς ἀπογράφω·
φρουρῶ στέροντας, εἰ δὲ μὴ φθείρω τάχει.

Εἰς τὸν ναὸν τοῦ ἀρχιστρατήγου Μιχαήλ, ὅταν τὸν ποιήσῃς καβαλλάρην ἐπὶ τὸ πρόθυρον τοῦ ναοῦ στίχοι·

Ἔφιππον ὁρᾶτέ με οἱ προσιόντες·
ῥομφαίαν ἐσπασμένην χειρὶ κατέχων
στίφη βαρβάρων ἐκδιώκω καὶ πλήττω·
ἐμοῦ δὲ ναοῦ ὑπάρχω φύλαξ μέγας·
ὁ βουληθεὶς δὲ καταδικάσαι τοῦτον
την ῥομφαίαν μου κατ' αὐτοῦ ἐπιστρέψω.

Ὅταν ποιήσῃς τὸν Πρόδρομον μετὰ πτερύγων, γράφε· "Τί σε καλέσωμεν, προφῆτα; ἄγγελον, ὅτι ὡς ἀσώματος ἐφάνης; ἀπόστολον, ὅτι ἐμαθήτευσας τὰ ἔθνη; μάρτυρα, ὅτι σοῦ ἡ κεφαλὴ ὑπὲρ Χριστοῦ ἐτμήθη"; Καὶ εἰς τὸν χάρτην γράφε οὕτως·

ΣΤΙΧΟΙ.

Ὅρα τὸν Ἀμνὸν καὶ Ποιμένα καὶ Λόγον
ἐλθόντα πρὸς γῆν ἐν βροτείᾳ τῇ φύσει
καὶ πάντας ἑλκύσαντα πρὸς πόλου πλάτος.

Πρὸς δὲ τὸν Χριστὸν δεόμενος λέγει·

Ὁρᾷς, δέσποτα, τὴν μανίαν Ἡρώδου.
Ἐλεγχόμενος, μὴ θέλων ἐπιστρέψαι,
τὴν ἐμὴν κάραν τέτμηκε, Θεοῦ Λόγε.

Δακτυλοδεικνύων τὸν Χριστὸν λέγει· "Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου".

Εἰς δὲ τῶν ὁσίων τὰ χαρτία οὕτω γράφε·

Ὁ ἅγιος Ἀντώνιος ὁ Μέγας λέγει·

Καπνὸς τὸ σμῆνος τῶν μελισσῶν ἐκτρέπει,
ψαλμῳδία δὲ δαιμόνων τὴν σφηκίαν
βάλλει, κεραυνοῖ, πυρπολεῖ, καταφλέγει.

Θεοδόσιος ὁ Κοινοβιάρχης.
Τύρβη ματαία κοσμικῶν φροντισμάτων
τὴν ψυχικὴν ἤμβλυνεν ὀξυδερκίαν,
τὸν νοῦν τυφλὸν δεικνύσα καὶ πλήρη σκότους.

Σάββας.
Τυφὼν μαραίνει τὸ δροσῶδες τῶν φύλλων,
τῦφος δὲ τεφροῖ τὴν ψυχῆς λαμπηδόνα.
Φύγωμεν οὐκοῦν παθῶν τὸ ψυχοφθόρον.

Εὐθύμιος.
Τὸ τῆς ψυχῆς σκύβαλον, ἀγαπητέ μοι,
κρημνῷ γεώδει μηδαμῶς καταπίπτῃς·
τὸ σῶμα φιλῶν μὴ βαρύνῃς ταῖς ὕλαις.

Ἱλαρίων.
Ὁ καταλαλῶν, μνησικακῶν καὶ κρίνων,
καταλαλεῖ νόμου τε καὶ κρίνει νόμον.

Ὀνούφριος.
Μὴ κόρος ἐντέρων σε Χριστοῦ χωρίσῃ,
μὴ βόρβορός σε τῶν παθῶν καθηδύνῃ·
εἰ δ' οὖν, δακρύσεις ἐν φλογὶ τῇ παμφάγῳ.

Ἐφραὶμ ὁ Σύρος.
Πονῶν ὑπὲρ . . . ἀπρεπῶν ἁμαρτάδων
μετ' ἐμπόνων πόνησον ἐμπόνως πόνων,
ὡς ἂν δυνηθῇς ἐκφυγεῖν πόνων πόνοις.

Μωϋσῆς ὁ Αἰθίοψ. "Ἄνθρωπος ὄψιν καὶ Θεὸς τὴν καρδίαν".

Βαλαάμ. "Οὐδὲν τοῦ ταπεινοῦ ὑψηλότερον, οὐδὲ τοῦ κατὰ Θεὸν εὐτελοῦς ἐνδοξότερον".

Χαρίτων.
Ἐπίχαρις ἥλιος ὄμμασι πέλει·
ἡ δ' αὖ προσευχὴ φωσφορεῖ τὴν καρδίαν.
Ταῦτα στερηθεὶς πᾶς τις ἐν σκότει πέλει.

Παῦλος ὁ Θηβαῖος.	Ὡς χόρτος ἡμῶν τῶν βροτῶν αἱ ἡμέραι ἔφησε (μή τις ἀμφιβαλλέτω) Δαβίδ. Τοίνυν ἄξιον ἡμᾶς χόρτον ἐσθίειν καὶ ἐνδιδῦσθαι διὰ παντὸς τοῦ βίου.
Ἀντίπας.	Ὄφις ὁ δεινὸς ἐγκοτεῖ δεινῶς μάλα καὶ ψιθυρισμοὺς ἐξυφαίνει καὶ δόλους· ζητεῖ ξενῶσαι τοὺς Θεῷ κεκαρμένους θείας χάριτος καὶ τρυφῆς τῆς ἐνθέου.
Σισώης.	Ὠδὰς λιγυρὰς τῷ Θεῷ πέμπον στόμα πῶς πορνικοῖς ᾄσμασιν ἀνοίξει θύραν; ψάλλε δὲ μᾶλλον συνετῶς καὶ κοσμίως.
Ἀνδρέας Κρήτης.	Ἐὰν τῆς ἄνω βούλῃ τυχεῖν πατρίδος, ὅλον σεαυτὸν ἀλλοτρίωσον βίου· θνῆξον· πρὸ θανῆς ἀσμένως θλίψεις δέχου.
Στέφανος ὁ Νέος.	Τῆς προσκυνητῆς εἰκόνος Χριστοῦ χάριν μικρὰ ῥανὶς αἵματος εἰ πρόσεστί μοι, ταύτην καὶ νῦν προθύμως εἰς τέλος κενῶ.
Ἰωάννης τῆς Κλίμακος.	Ταῖς ἀρεταῖς πρόβαινε καθὰ βαθμῖσι τὸν νοῦν ἀνυψῶν πρακτικαῖς θεωρίαις.

Γερμανὸς Κωνσταντινουπόλεως. " Ὃ δέδωκας, εὕρηκας ".

Μάξιμος ὁ Ὁμολογητής. " Μώλωπες ψυχῆς μὴ θριαμβευόμεναι εἰς χεῖρον προβαίνουσιν ".

Ἀχίλλειος Λαρίσσης. "Σπούδασον, ὅσον δύνασαι, πάντα ἄνθρωπον ἀγαπῆσαι· εἰ δὲ τοῦτο οὐ δύνασαι, κἂν μηδ' ἕνα μισήσῃς ".

Ἰωαννίκιος ὁ Ἀναχωρητής.	Στενὴν ὁδὸν βάδιζε καὶ τεθλιμμένην μισῶν πλαδαρὸν καὶ διάρρητον βίον· οὗτος τῶν κακῶν ὁ γεννήτωρ.
Θεόκτιστος.	Σκληραῖς ἀγωγαῖς ἐκδιδοὺς τὸ σαρκίον τρέψει ἀσάρκων δυσμάχων ἀντιμάχων ἐχθρῶν κραταιῶν τὸ κράτος κατὰ κράτος.
Θεόδωρος ὁ Στουδίτης.	Ταῖς προσκυνηταῖς εἰκόσι νέμει σέβας, τοῖς πρωτοτύποις τὸν σεβασμὸν εἰσφέρει, ὧν περ πρὸς ἐμφέρειαν αὐτὰς πᾶς γράφει.

Θεοφάνης ὁ Γραπτός. " Εἴ τις τὴν εἰκόνα τὴν σὴν καὶ παντων τῶν ἁγίων οὐ κατασπάζεται, δέσποινα Θεοτόκε, ἀπολαύει τῆς αἰωνίου κολάσεως ".

Ἀρσένιος ὁ Μέγας.	Κενὰ σοβᾷς, τάλαινα, φαύλη καρδία, ἡ τὸν νοητὸν ἀθετοῦσα δεσπότην, αἰσχρῶν δ' ἐρώτων ἐς ἀεὶ πιμπλαμένη.
Ἰσαάκιος.	Οἴκῳ προσελθὼν τοῦ Θεοῦ καὶ δεσπότου εὖξαι πρεπόντως τῶν κακῶν εὑρεῖν λύσιν, βιωτικὸν δὲ πᾶν ἀποτρέπου βάρος.
Μαρτινιανός.	Ἄλλην βαδίζειν δόντες ἐγγύας τρίβον ἄλλην ποθοῦμεν ἐξ ἀβουλίας τρέχειν· ὑφέξομεν γοῦν ἐν κρίσει τὰς εὐθύνας.

Πάλιν Ἀρσένιος.	Βιωτικὸν βούλημα πᾶν φυγεῖν θέλε, ἡσυχίαν δὲ καὶ σιωπὴν ἀγάπα· σῴζῃ γὰρ οὕτω συγχορεύων ἀγγέλοις.
Νεῖλος.	Ὄφις ὁ δεινὸς ἐγκοτεῖ δεινῶς μάλα καὶ ψιθυρισμοὺς ἐκβοᾷ τῶν ἐνθέων· τούτων δὲ ἀόκνων τὰς προσευχὰς ἐκφέροις.
Πάλιν ὁ ἅγιος Σάββας.	Ἰατρὸς κρατῶν κράτησιν ἰσχύει πᾶσι· εἰ γὰρ κορεσθῇ βρωμάτων ἡ μαιμῶσα, οἰστρηλατήσει καὶ πλέον τῆς μαινάδος.
Πάλιν Θεοκτίστου.	Εὐθὺς ἱλαρὸς εὐμενὴς ταπεινόφρων σπεύδων ὁρᾶσθαι διπλόην πᾶσαν μίσει· οὕτω γὰρ εὐαρέστως ὀφθῇς Κυρίῳ.
Παύλου τοῦ ἐν τῷ Λάτρῳ.	Θεῷ δέ τις ζῶν καὶ Θεῷ προσανέχων φέρει λόγον τε καὶ βοὴν τὴν ἐκ Λόγου· κλύει γὰρ αὐτὸς καὶ σιγῶντος Μωσέως.
Πάλιν ὁ ἅγιος Ἐφραίμ.	Παρρησία γέλωτι ἐγκεκαυμένη ψυχὰς ἀπειθεῖς εὐχερῶς καταστρέφει, λίθον βριαροῦ ῥίπτει πλεξίδος δίκην.
Κυριακὸς ὁ Ἀναχωρητής.	Ὑπνοῦντας ἄνδρας εὐχερῶς κλέπτης θλίβει, κόσμου δὲ τοὺς θέλοντας ἀσκεῖν πλησίον συλᾷ νοητὸς κλεπτόνους νυκτολόχος.
Παχώμιος.	Ἔχων κατὰ νοῦν τοῦ κριτοῦ παρουσίαν στέναζε καὶ δάκρυε καὶ θρήνει μέγα· οὕτω γὰρ ἕξεις τὴν ζωὴν αἰωνίαν.

Ἐκ τοῦ βίου τοῦ ἁγίου Νικολάου.

Ἡ γέννησις τοῦ ἁγίου Νικολάου. — Πορευόμενος εἰς διδασκαλεῖον. — Χειροτονεῖται διάκονος. — Χειροτονεῖται πρεσβύτερος. — Χειροτονεῖται μητροπολίτης Μυρέων. — Πλουτοδοτῶν τὸν πένητα μετὰ τῶν θυγατέρων αὐτοῦ. — Ἐν ὀνείρῳ ὀπτάνεται τῷ βασιλεῖ Κωνσταντίνῳ· λεπ. * ὀπτάνεται τῷ ἐπάρχῳ * λαβόντες παρ' αὐτῶν καὶ δῶρα ἵνα πορευθῶσιν εἰς τὰ Μύρα πρὸς τὸν ἅγιον. — Οἱ συκοφαντηθέντες ἔκοπτον δένδρον ἐν τῇ ὁδῷ, ἐν ᾧ οἱ δαίμονες κατῴκουν. — Οἱ ἐν τῇ Λυκίᾳ τρεῖς ἄνδρες συκοφαντηθέντες, οὓς ἐρρύσατο ἐκ θανάτου ὁ ἅγιος. — Ἐκδιώκων τοὺς δαίμονας, καταστρέψας τὸν ναὸν τῆς Ἀρτέμιδος. — Ἡ κοίμησις τοῦ ἁγίου Νικολάου.

Ἐκ τῶν τοῦ ἁγίου Δημητρίου.

Ὁ ἅγιος Δημήτριος ἐβλήθη ἐν φρουρᾷ. — Ἐνέκρωσε τὸν σκορπιόν. — Ὁ ἅγιος Νέστωρ ξίφει τελειοῦται. — Ὁ μέγας Δημήτριος ἐν φρουρᾷ νύττεται τὴν πλευρὰν ὑπὸ ἑπτὰ στρατιωτῶν. — Ἡ κοίμησις τοῦ ἁγίου Δημητρίου.

Μαρτύριον τῆς ἁγίας Παρασκευῆς.

Ἡ ἁγία Παρασκευὴ παρίσταται τῷ βασιλεῖ Ἀσκληπιῷ. — Τύπτεται βουνεύροις. — Βληθεῖσα ἐν τῇ φρουρᾷ προσεύχεται. — Βληθεῖσα ἐν λέβητι ἐκτυφλοῖ τὸν βασιλέα

Ἀντώνιον. — Ἠνέῳξε τοὺς ὀφθαλμοὺς τοῦ Ἀντωνίου πρότερον βαπτισθεὶς μετὰ τῆς βασιλίσσης ὑπὸ τῆς ἁγίας. — Διαλέγεται τῷ βασιλεῖ Ἀνθεμίῳ. — Κρεμασθεῖσα ἐκ τῶν τριχῶν ξέεται τὰς σάρκας.—Ἐξελθοῦσα ἡ ἁγία προσευχομένη ἀπέρχεται τελειωθῆναι.— Ἡ ἁγία ξίφει τελειοῦται.

Ὁ ἅγιος Εὐθύμιος προσευχόμενος ἰδεῖν θάνατον δικαίου καὶ ἁμαρτωλοῦ. Εἰς τὸν θάνατον τοῦ δικαίου γράφε·

ΣΤΙΧΟΙ.

Ἄνδρες, ὁρᾶτε δικαίου πότμον τοῦδε,
πῶς ὁ ἄγγελος παρακαλῶν εἱστήκει
λαβεῖν τὴν τούτου ψυχὴν ἀσμενεστάτως·
κάμπτεται καὶ γὰρ καὶ φιλανθρώπως βλέπει,
εὐλαβούμενος τὰς ἀγαθοεργίας.

Εἰς δὲ τὸν θάνατον τοῦ ἁμαρτωλοῦ·

Τοῦδ' ἀνάπαλιν αὖθις ὡς βλέπεις, ξένε,
ἀνελεήμων ἄγγελος τῷ ἀθλίῳ
ἵσταται τούτου μετὰ τῆς τριοδόντου
ῥομφαίας ψυχὴν ἕλκων ὡς παμβεβήλην·
ὧν τοῦ μὲν εὐξώμεθα τυχεῖν τοῦ τέλους
τοῦ δὲ ἑτέρου φυγεῖν τὴν ἐκδημίαν.

Περὶ τῆς δευτέρας καὶ φρικτῆς παρουσίας τοῦ Χριστοῦ.

Μέσον ὁ Χριστὸς καθεζόμενος εἰς θρόνον καὶ ἡ παναγία Θεοτόκος εἰς τὰ δεξιὰ πρεσβείαν ποιοῦσα· ἀριστερὰ δὲ ὁ τίμιος Πρόδρομος· ἑξαπτέρυγα καὶ πολυόμματα ἔνθεν καὶ ἔνθεν κράζοντα καὶ λέγοντα· "Ἅγιος, ἅγιος, ἅγιος κύριος Σαβαώθ· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, ὢν καὶ ἀεί". Δυνάμεις, Ἐξουσίαι, Ἀρχαί, Κυριότητες, Θρόνοι, Ἀρχάγγελοι, Ἄγγελοι καὶ οἱ δώδεκα ἀπόστολοι λευκοφόροι ἔνθεν καὶ ἔνθεν.

Πέτρος λέγει· "Παρακαλῶ ὑμᾶς, ἀδελφοί, ἀπέχεσθε ἀπὸ τῆς σαρκικῆς ἐπιθυμίας". Ἰωάννης· "Μὴ ἀγαπᾶτε τὸν κόσμον μήτε τὰ ἐν τῷ κόσμῳ".

Μᾶρκος· "Βλέπετε μὴ πλανηθῆτε· οὐ γὰρ οἴδατε τὴν ὥραν ἢ τὴν ἡμέραν, ἐν ᾗ ὁ Κύριος ἔρχεται".

Ἀνδρέας· "Προσέχετε ἑαυτοῖς καὶ παντὶ τῷ ποιμνίῳ· ὁρᾶτε, ἀγαπητοί, μηδεὶς ἀπογινωσκέτω".

Ἰάκωβος· "Στηρίξατε τὰς καρδίας ὑμῶν, ὅτι ἡ παρουσία τοῦ Κυρίου ἡμῶν ἤγγικε".

Θωμᾶς· "Φοβερά, ἀδελφοί, ἡ τοῦ Χριστοῦ ἐπιδημία".

Ἐξ ἀριστερῶν δὲ ὁ Παῦλος λέγει· "Βλέπετε, ἀδελφοί, πῶς ἀκριβῶς περιπατεῖτε".

Ματθαῖος· "Οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη, ἕως οὗ πάντα γένηται".

Λουκᾶς· "Εἶπεν ὁ Κύριος· ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι".

Βαρθολομαῖος· "Ἰδοὺ ἦλθεν ὁ Κύριος ποιῆσαι κρίσιν κατὰ πᾶσαν τὴν γῆν".

Φίλιππος· "Ἀσφαλίσασθε ἑαυτούς, ἀδελφοί, περὶ τῆς ὥρας ἐκείνης".

Ὁ Παράδεισος ἐκ δεξιῶν πρὸς ἀνατολάς· ἔσωθεν Ἀβραάμ, Ἰσαὰκ καὶ Ἰακὼβ καὶ ἡ Θεοτόκος.

Ὅρασις Δανιὴλ τοῦ Προφήτου.

Ἐθεώρουν γὰρ φησιν, ἕως οὗ θρόνοι ἐτέθησαν καὶ ὁ παλαιὸς ἡμερῶν ἐκάθισε· καὶ τὸ ἔνδυμα αὐτοῦ ὡσεὶ χιὼν καὶ ἡ θρὶξ τῆς κεφαλῆς ὡσεὶ ἔριον καθαρόν. — Ὁ θρόνος

αὐτοῦ ὡσεὶ φλόγα πυρός. — Οἱ τροχοὶ αὐτοῦ πῦρ φλέγον. — Ποταμὸς πυρὸς εἷλκε πορεύων ἔμπροσθεν αὐτοῦ. — Χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ καὶ μύριαι μυριάδες παρειστήκεσαν αὐτῷ. — Κριτήριον· ἐκάθισε καὶ βίβλοι ἠνεῴχθησαν καὶ Σεραφεὶμ εἱστήκεισαν κύκλῳ αὐτοῦ· ἓξ πτέρυγες τῷ ἑνὶ καὶ ἓξ πτέρυγες τῷ ἑνὶ καὶ κέκραγεν ἕτερον πρὸς ἕτερον καὶ λέγον· " Ἅγιος, ἅγιος, ἅγιος "· καὶ τέσσαρα πρόσωπα τῷ ἑνί.

Περὶ τῶν πέντε παρθένων.

Αἱ πέντε παρθένοι αἱ φρόνιμοι ἔσωθεν καὶ αἱ πέντε μωραὶ ἔξωθεν, βοῶσαι αἱ μωραὶ ταῖς φρονίμοις· " Δότε ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν ". Ἀποκρίνονται αἱ φρόνιμοι. " Ὑπάγετε πρὸς τοὺς πωλοῦντας καὶ ἀγοράσατε ".

Αἱ τῶν χορῶν τάξεις.

Χορὸς ἀποστόλων. — Χορὸς προφητῶν. — Χορὸς μαρτύρων. — Χορὸς ἀσκητῶν. — Χορὸς ἱεραρχῶν. — Χορὸς γυναικῶν. — Ὁ λῃστὴς ἔμπροσθεν τοῦ Παραδείσου. — Οἱ τέσσαρες ποταμοὶ ἐξερχόμενοι ὁμοῦ τοῦ Παραδείσου: Φισών, Γεών, Τίγρις, Εὐφράτης. — Ὁ ἀρχάγγελος Μιχαὴλ σαλπίζων τὴν οἰκουμένην πᾶσαν καὶ τὴν θάλασσαν. — Ἐγείρεσθε οἱ καθεύδοντες. — Ἀποδιδοῦσα ἡ γῆ καὶ ἡ θάλασσα τοὺς ἑαυτῶν νεκρούς. — Ὁ κόλπος τοῦ Ἀβραὰμ βαστάζων τὰ νήπια, ἐξ εὐωνύμων δὲ ὁ πλούσιος ἐν τῷ πυρίνῳ ποταμῷ φλεγόμενος· ὑπὸ πυρίνων ἀγγέλων κρατούμενος, βοῶν πρὸς τὸν Ἀβραὰμ λέγει· " Πάτερ Ἀβραάμ, ἐλέησόν με καὶ πέμψον Λάζαρον, ἵνα βάψῃ τὸ ἄκρον τοῦ δακτύλου αὐτοῦ ὕδατος καὶ καταψύξῃ μου την γλῶτταν ". Ἀποκρίνεται Ἀβραὰμ πρὸς τὸν πλούσιον· " Τέκνον, μνήσθητι ὅτι ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου καὶ ὁ Λάζαρος ὁμοίως τὰ κακά "· Εἶτα οἱ ἁμαρτωλοὶ ἐξ εὐωνύμων γυμνοὶ καὶ σκυθρωποί· ἱερεῖς, ἀρχιερεῖς, μοναχοὶ ἀνελεήμονες· ὁ Ἰούδας ὁ προδότης μεσον τοῦ βυθίου δράκοντος μετὰ τῶν πνευμάτων τῆς πονηρίας· οἱ βασιλεῖς οἱ κακοὶ καὶ τύραννοι, οἱ παρακαμπανισταί, οἱ νοτάριοι τῆς ἀδικίας καὶ οἱ λοιποὶ ἅρπαγες καὶ ἄσπλαγχνοι, και εἶθ' οὕτως ζυγὸς δικαιοσύνης.

Αἱ Κολάσεις.

Τὰ καταχθόνια· ὁ σκώληξ ὁ ἀκοίμητος· ὁ Ἅδης· βρυγμὸς τῶν ὀδόντων· ὁ τάρταρος. Ἄντικρυ δὲ τοῦ Χριστοῦ ὁ Τίμιος Σταυρός· ὁ Ἀδὰμ καὶ ἡ Εὔα εἰς τὸ ὑποπόδιον αὐτοῦ· ο ἀκάνθινος ὁ στέφανος, ἡ λόγχη, ὁ σπόγγος, οἱ ἧλοι, ἡ χλαμύς. Ἔνθεν καὶ ἔνθεν ἄγγελοι δύο· ὁ ἐκ δεξιῶν γράφεται οὕτως· " Ὑμῖν δέδοται ἡ τῶν οὐρανῶν βασιλεία ". Ὁ ἐξ ἀριστερῶν· " Δείξατε ὑμῶν τὰ καλὰ ἔργα καὶ ἀπολάβετε τὸν μισθόν ".

Εἰς τὴν Δευτέραν Παρουσίαν.

Ἰωήλ· " Ὁ ἥλιος καὶ ἡ σελήνη σκοτάσουσι ".

Δανιήλ· " Ἐθεώρουν, ἕως οὗ θρόνοι ἐτέθησαν καὶ ὁ παλαιὸς ἡμερῶν ἐκάθισε ".

Ποίησον καὶ τὸν ἅγιον Παῦλον τὸν ἀπόστολον βλέποντα ἄνω πρὸς τὸν Χριστὸν καὶ δεικνύοντα τῇ δεξιᾷ χειρί, τῇ δὲ ἀριστερᾷ κρατοῦντα τόμον χάρτου γεγραμμένον οὕτως· " Ὅτι αὐτὸς ὁ Κύριος ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγγέλου καὶ ἐν σάλπιγγι Θεοῦ καταβήσεται ἀπ' οὐρανοῦ ".

Στίχοι εἰς τὴν αὐτὴν Δευτέραν Παρουσίαν.

Γυμνὴν στάσιν, ἄνθρωπε, καὶ θείαν κρίσιν
καὶ βῆμα φρικτὸν καὶ Θεὸν κριτὴν βλέπων,
τοὺς ἀγγέλους ἑστῶτας ὡς δορυφόρους,
γυμνὰς λογισμῷ τὰς ἁμαρτίας λάβε·
ἔγκυψον, ἴδε τῆς καμίνου τὴν φλόγα
καὶ σωφρονίσας προσδέχου καὶ τὴν κρίσιν.

ΙΣΤΟΡΙΑ ΤΟΥ ΝΑΟΥ.

Εἰς τὸ τούρλεον ἄνω ὁ Χριστὸς στηθεῖον· γύρωθεν δὲ Ἄγγελοι καὶ Ἀρχάγγελοι γράψον οὕτως· "Ἐξ οὐρανοῦ ἐπέβλεψεν ὁ Κύριος εἶδε πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων· ἐξ ἑτοίμου κατοικητηρίου αὐτοῦ ἐπέβλεψεν ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν γῆν". Καὶ οἱ δεκαὲξ Προφῆται γεγραμμένοι:

Ὁ προφήτης Ὠσηὲ γέρων στρογγυλογένης λέγων· "Ποῦ σου, Θάνατε, τὸ κέντρον; ποῦ σου ἡ νίκη";

Ὁ προφήτης Ἰωὴλ μαυροδιχαλογένης, μαδαροπώγωνος, λέγων· "Ἰσχύς, Κύριε· ἐξεγειρέσθωσαν καὶ ἀναβαινέτωσαν πάντα τὰ ἔθνη εἰς τὴν κοιλάδα Ἰωσαφάτ".

Ὁ προφήτης Ἀμὼς γέρων στρογγυλογένης λέγων· "Οὐαὶ οἱ ἐπιθυμοῦντες τὴν ἡμέραν Κυρίου, καὶ αὕτη ἔσται σκότος καὶ οὐ φῶς".

Ὁ προφήτης Ἀβδιοὺ μιξοπόλιος λέγων· "Ὃν τρόπον ἐποίησας, οὕτως ἔσται σοι· τὸ ἀνταπόδομά σου ἀνταποδοθήσεταί σοι εἰς κεφαλήν".

Ὁ προφήτης Ἰωνᾶς γέρων φαλακρός, στρογγυλογένης, λέγων· "Ἐβόησα ἐν θλίψει μου πρὸς κύριον τὸν Θεόν μου καὶ εἰσήκουσέ μου".

Ὁ προφήτης Μιχαίας νέος μουστακίζων, λέγων· "Καὶ στήσεται καὶ ὄψεται καὶ ποιμανεῖ τὸ ποίμνιον αὐτοῦ ἐν ἰσχύϊ Κυρίου".

Ὁ προφήτης Ναοὺμ γέρων κοντογένης, λέγων· "Πρὸ προσώπου Κυρίου τίς ὑποστήσεται καὶ τίς ἀντιστήσεται ἐν ὀργῇ θυμοῦ αὐτοῦ";

Ὁ προφήτης Ἀββακοὺμ νέος ἀγένειος, λέγων· "Περιέβαλεν ἀμελεῖς ἐξ ἀδικίας μετὰ δυνάμεως, τοὺς ἀρχηγοὺς τῶν ἁμαρτωλῶν".

Ὁ προφήτης Σοφονίας γέρων κοντογένης, λέγων· "Φωνὴ ἡμέρας Κυρίου πικρὰ καὶ σκληρά· τέτακται οὖν αὐτὴ ἡμέρα σάλπιγγος".

Ὁ προφήτης Ἀγγαῖος πάνυ γέρων [1], μιξοπόλιος, διχαλογένης, λέγων· "Ἐγὼ σείω τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ τὴν ξηράν, καὶ καταστρέψω θρόνους βασιλέων".

Ὁ προφήτης Ζαχαρίας νέος ἀγένειος· "Καὶ ἥξει κύριος ὁ Θεός μου καὶ πάντες οἱ ἅγιοι αὐτοῦ μετ' αὐτοῦ, καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ οὐκ ἔσται φῶς".

Ὁ προφήτης Μαλαχίας νέος ἀγένειος· "Ἰδοὺ ἡμέρα Κυρίου ἔρχεται ⟨καιομένη⟩ ὡς κλίβανος καὶ φλέξει αὐτούς· καὶ ἔσονται ⟨πάντες οἱ⟩ ἀλλογενεῖς καὶ πάντες οἱ ποιοῦντες τὴν ἀνομίαν".

Ὁ προφήτης Γεδεὼν ὅμοιος τῷ προφήτῃ Ἡσαΐᾳ.

Ὁ προφήτης καὶ βασιλεὺς Δαβὶδ γέρων στρογγυλογένης, λέγων· "Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας".

Ὁ προφήτης καὶ βασιλεὺς Σολομὼν νέος ἀγένειος· "Στόμα δικαίου ἀποστάζει σοφίαν".

---

1) Ἐν τῷ κώδικι "πανόγηρος".

Ὁ προφήτης Δανιὴλ νέος ἀγένειος· "Ἐγὼ Δανιὴλ ἐθεώρουν, ἕως οὗ ἐτέθησαν θρόνοι εἰς κρίσιν καὶ ὁ παλαιὸς ἡμερῶν ἐκάθισεν".

Ὁ προφήτης Ἱερεμίας γέρων κοντογένης οὐ πολλά· "Ἐγένετο λόγος Κυρίου πρός με λέγων· πρὸ τοῦ σε πλάσαι ἐν κοιλίᾳ μητρός σου ἐπίσταμαί σε καὶ πρὸ τοῦ σε ἐξελθεῖν ἐκ μήτρας ἡγίακά σε".

Ὁ προφήτης Ἰεζεκιὴλ γέρων ὀξυγένης· "Τάδε λέγει Κύριος· ὄψεσθε τὴν ζωὴν ὑμῶν κρεμαμένην ἀπέναντι τῶν ὀφθαλμῶν ὑμῶν".

Ὁ προφήτης Μωϋσῆς στρογγυλογένης· "Προφήτην ὑμῖν ἀναστήσει Κύριος ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμέ".

Ὁ προφήτης Ἠλιού· "Ζῇ Κύριος καὶ ζῇ ἡ ψυχή σου· οὐκ ἔσται ὑετὸς ἐπὶ τῆς γῆς, εἰ μὴ διὰ στόματός μου. Κάθου δὴ ἐνταῦθα, ὅτι Κύριος ἀπέσταλκέ με ἕως τοῦ Ἰορδάνου".

Ὁ προφήτης Ἐλισσαῖος· "Πάτερ, πάτερ, ἅρμα Ἰσραὴλ καὶ ἱππεὺς αὐτοῦ· καὶ οὐκ εἶδεν αὐτὸν οὐκ ἔτι".

Ὁ προφήτης Ἱερεμίας· "Οὗτος ὁ Θεὸς ἡμῶν· οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν· ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης".

Ἔτι τοῦ προφήτου Ἰεζεκιήλ· "Τάδε λέγει Κύριος· ἀνοίξω τὰ μνήματα ὑμῶν καὶ ἀνάξω ὑμᾶς ἐκ τῶν μνημάτων".

Ὁ προφήτης Μιχαίας· "Δεῦτε ἀναβῶμεν εἰς τὸ ὄρος Κυρίου καὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ Ἰακώβ".

Ὁ προφήτης Ναούμ· "Τάδε λέγει Κύριος κατάρχων ὑδάτων πολλῶν Καὶ οὕτως διασταλήσονται".

Ὁ προφήτης Ἀββακούμ· "Κύριε, εἰσακήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην· Κύριε, κατενόησα τὰ ἔργα σου καὶ ἐξέστην".

Ὁ προφήτης Σοφονίας· "Χαῖρε σφόδρα, θύγατερ Σιών· κήρυσσε, θύγατερ Ἱερουσαλήμ".

Ὁ προφήτης Ζαχαρίας· "Πατάξω τὸν ποιμένα καὶ διασκορπισθήσονται τὰ πρόβατα τῆς ποίμνης".

Ὁ προφήτης Ἀγγαῖος· "Ἔσται ἡ δόξα τοῦ οἴκου τούτου ὑπὲρ τὴν ἐσχάτην, λέγει Κύριος παντοκράτωρ".

Ὁ Μελχισεδέκ, ὁ Σαμουὴλ καὶ ὁ Ἀαρών.

Εἰς τὸ "Τί σοι προσενέγκωμεν, Χριστέ", στίχοι τοῦ Χρυσοστόμου·

Νῦν, οὐρανέ, σκίρτησον, εὐφράνθητί μοι,
ἡ γῆ δὲ πᾶσα σὺν βροτοῖς χορευέτω·
Χριστὸς γὰρ ἐξέλαμψε ἐκ τῆς παρθένου,
ὁ μητρὸς ἐκτὸς καὶ πατρὸς φανεὶς δίχα.
Ὢ θαῦμα καινόν· πῶς Θεὸς μικρὸν βρέφος;
Οἱ ἄγγελοι τὸν ὕμνον, οἱ οὐρανοὶ τὸν ἀστέρα,
οἱ μάγοι τὰ δῶρα, οἱ ποιμένες τὸ θαῦμα,
ἡ γῆ τὸ σπήλαιον, ἡ ἔρημος τὴν φάτνην,
ἡμεῖς δὲ μητέρα παρθένον· ὁ πρὸ αἰώνων Θεός.

Περὶ τῶν τεσσάρων εὐαγγελιστῶν.

Ματθαῖος ὁ εὐαγγελιστὴς ὅμοιος ἀνθρώπῳ καὶ γράφει· "Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ, υἱοῦ Δαβίδ, υἱοῦ Ἀβραάμ".

Μᾶρκος ὅμοιος βοΐ γράφει· "Ἀρχὴ τοῦ εὐαγγελίου Ἰησοῦ Χριστοῦ".

Λουκᾶς ὅμοιος λέοντι γράφει· "Ἐπειδή περ πολλοὶ ἐπεχείρησαν διήγησιν ἀνατάξασθαι".

Ἰωάννης ὅμοιος ἀετῷ γράφει· "Ἐν ἀρχῇ ἦν ὁ Λόγος καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν καὶ Θεὸς ἦν ὁ Λόγος".

Περὶ τῶν ἱεραρχῶν.

Ὁ ἅγιος Βασίλειος νέος ὀξυγένης, μακρογένης, λέγων· "Ψυχῆς κάλλος ἀσφαλῶς φρουρητέον· τοῦτο γὰρ ἀπαιτήσει ὁ Θεός, κριτὴς δίκαιος ἐκ βροτείου γένους".

Γρηγόριος ὁ Θεολόγος γέρων πλατυγένης, φαλακρός, σγουρὰς ἔχων τὰς τρίχας, λέγων· "Ποιμὴν λογικὸς ἐγκαταστὰς ἐν βίῳ, ἁπλοῦς, ταπεινός, εὐμενής, πραῢς ἔσο".

Ὁ ἅγιος Ἰωάννης ὁ Χρυσόστομος, νέος σπανός, γράφει· "Τῶν πρὶν ἕκαστος εἴπερ ἐκστῇ σφαλμάτων, σωθήσεσθαι αὐτὸν πάντως ἐγγυῶμαι γνησίως".

Γρηγόριος ὁ Θαυματουργὸς γέρων φαλακρός, σγουροκοντογένης, διφαλὸν ὀλίγον.

Γρηγόριος Ἀκραγάντων, γέρων κοντογένης.

Γρηγόριος τῆς Μεγάλης Ἀρμενίας, γέρων κοντοπλατυγένης.

Γρηγόριος Νύσσης, γέρων κοντογένης.

Νικόλαος ὁ Μύρων τῆς Λυκίας γέρων φαλακρός, στρογγυλογένης, λέγων· "Εἷς Θεὸς πατὴρ Λόγου ζῶντος, σοφίας ὑφεστώσης πηγὴ καὶ δυνάμεως καὶ χαρακτῆρος ἀϊδίου".

Νικόλαος ὁ Μεγαλοπόλεως γέρων ἀγένειος.

Βλάσιος, γέρων σγουροκέφαλος, ὀξυγένης.

Ἀθανάσιος Ἀλεξανδρείας, γέρων πλατυγένης, λέγων· "Ἕνα Θεὸν σεβόμεθα ἐν Τριάδι καὶ Τριάδα ἐν μονάδι, μήτε τὰ πρόσωπα συγχέοντες, μήτε τὴν οὐσίαν διαχωρίζοντες".

Κύριλλος Ἀλεξανδρείας, φαλακρός, μιξοπόλιος, βουρλογένης, εἰς δύο χωρισμένα...

Ἀνδρέας ὁ Κρήτης, γέρων κοντογένης, λέγων· "Ὅτε κριτὴς καθίσῃς ὡς εὔσπλαγχνος καὶ τὴν φοβερὰν δόξαν σου δείξῃς, σωτήρ μου, ὢ ποῖος φόβος τότε καμίνου καιομένης".

Ἰγνάτιος, γέρων μακρυγένης.

Πολύκαρπος Σμύρνης, γέρων στρογγυλογένης.

Ἐπιφάνιος Κύπρου, γέρων φαλακρός, ὀξυγένης.

Γερμανὸς Κωνσταντινουπόλεως, γέρων εὐνοῦχος, ὅμοιος Ἰωάννῃ τῷ Θηβῶν.

Σωφρόνιος Ἱεροσολύμων, μιξοπόλιος, ὀξυγένης.

Πρόκλος, γέρων πλατυγένης.

Μεθόδιος, γέρων φαντογένης.

Ἀμβρόσιος, γέρων ὀξυγένης.

Παρθένιος, γέρων πλατυγένης.

Ταράσιος, γέρων ὀξυγένης, πατριάρχης.

Εὐτύχιος πατριάρχης, γέρων κοντογένης.

Φωκᾶς, γέρων πλατυγένης, κοντογένης.

Ἀχίλλειος Λαρίσσης, γέρων ὀξυβουρλογένης.

Παῦλος ὁ Ὁμολογητής, νέος ὀξυγένης.

Νίκανδρος, νέος στρογγυλογένης.

Διονύσιος ὁ Ἀρεοπαγίτης, γέρων σγουροκέφαλος, διχαλογένης.

Θεοφύλακτος, γέρων εὐνοῦχος.

Ἰωάννης ὁ Ἐλεήμων, γέρων ὀξυγένης.

Ἄνθιμος, νέος ὀλιγογένης.

Βαβύλας, γέρων πλατυγένης.

Ἱερόθεος, νέος στρογγυλογένης.

Αὐτόνομος, γέρων κοντοστρογγυλογένης.

*

Εὐμένιος, γέρων στρογγυλογένης.
Δωρόθεος, γέρων μεγαλογένης.
Ἀλύπιος, γέρων στρογγυλογένης.
Πατρίκιος, νέος ὀλιγογένης.
Σπυρίδων, γέρων βουρλογένης.
Νικηφόρος πατριάρχης, γέρων ὀξυγένης.
Μητροφάνης πατριάρχης, γέρων δασυγένης.
Ὑπάτιος, γέρων ὀξυγένης.
Εὐσέβιος, νέος ἀρχιγένης.
Ἀγαπητός, γέρων κοντογένης.
Ἰωσὴφ Θεσσαλονίκης, νέος ὀξυγένης.
Ἀθηνογένης, νέος ὀξυγένης.
Μαρτῖνος, νέος ὀξυγένης.
Θεράπων, γέρων κοντογένης βαστάζων φλεβότομον.
Σίλβεστρος Ῥώμης, γέρων μακρυγένης.
Ἐλευθέριος, νέος στρογγυλογένης.
Χαραλάμπης, γέρων μακροδιχαλογένης.
Ἀκεψιμᾶς, γέρων φαλακρός, πολυγένης, διφαλὸν ὀλίγον.
Ἰωσὴφ πρεσβύτερος, γέρων ὀξυγένης.
Ἀειθαλᾶς διάκονος, νέος μουστακίζων.
Λάζαρος, νέος μουστακίζων.
Μελέτιος, γέρων μακρυγένης, εἰς τρία κεχωρισμένα.
Βασιλεὺς ἐπίσκοπος Ἀμασείας, γέρων ὀξυγένης, ὅμοιος τῷ Μεγάλῳ Βασιλείῳ.
Στέφανος ὁ πρωτομάρτυς καὶ ἀρχιδιάκονος νέος ἀγένειος.
Ῥωμανός, νέος.
Ῥουφῖνος διάκονος.
Παρμενᾶς διάκονος, ἀγένειος.
Σίμων διάκονος.
Εὔπλος διάκονος.

Περὶ μοναχῶν ὁσίων.

Ὁ μέγας Ἀντώνιος γέρων κοντογένης διαφαρίζων ὀλίγον, φορῶν κουκούλλιον, λέγων· "Μὴ ἀπατᾷ, ὦ μοναχέ, χορτασίᾳ κοιλίας· ἡ ὑποταγὴ μετ' ἐγκρατείας ὑποτάσσει δαίμονας". Ἄλλο. "Ἐγὼ οὐκέτι φοβοῦμαι τὸν Θεόν, ἀλλ' ἀγαπῶ αὐτόν· ἡ γὰρ τελεία ἀγάπη ἔξω βάλλει τὸν φόβον".

ΣΤΙΧΟΙ.

Ἄνθρωπος φυγὼν κοματωγὰς τοῦ βίου
ἐχθρῶν ἀσάρκων δυσμενῶν ἀλαστόρων
βέλεμνα, τόξα, φαρέτρας οὐ ταρβεῖται.

Σάββας ἔχων τὸν πώγωνα μαδαρόν, λέγων· "Τείχισον τὸ κελλίον σου, ὦ μοναχέ, καὶ ἄλλου κελλίον μὴ παράβαλε". Ἄλλο· "Ὅστις σῶμα ἐνίκησεν, οὗτος φύσιν ἐνίκησεν· ὁ δὲ τὴν φύσιν νικήσας πάντως ὑπὲρ φύσιν ἐγένετο".

Εὐθύμιος γέρων μεγαλογένης ἕως τῶν μηρῶν, λέγων· "Ἀδελφοί, τὰ ὅπλα τοῦ μοναχοῦ ἐστιν ἡ μελέτη, ἡ ταπεινοφροσύνη καὶ ἡ κατὰ Θεὸν ὑπακοή". Ἄλλο· "Οἱ ἐν ὑποταγῇ διατρίβοντες φιλαργυρίας ἀλλότριοι· ὅπου γὰρ τὸ σῶμα ἐξέδωκαν, τί λοιπὸν κέκτηνται ἴδιον";

Ἀρσένιος γέρων σγουροκέφαλος, βουρλογένης, εἰς πέντε χωρισμένα, λέγων· "Ἀδελφοί, δι' ὃ ἐξήλθετε ἀγωνίσασθε καὶ τῆς ἑαυτῶν σωτηρίας μὴ ἀμελήσητε".

Θεοδόσιος ὁ Κοινοβιάρχης, γέρων διχαλογένης, λέγων· "Ἐὰν μὴ ἀποτάξησθε τοῖς πᾶσι τοῦ κόσμου, οὐ δύνασθε γενέσθαι μοναχοί".

Ἀβράμιος γέρων· τὸ γένειον μέγα καὶ ὀξύ.

Παφνούτιος, γέρων μεγαλογένης, εἰς δύο χωρισμένα, φαλακρός, λέγων· "Ὅπου ἐὰν μετριάζς ἑαυτόν, ἔσῃ ἀναπαυόμενος".

Μᾶρκος, γέρων κοντογένης.

Θεόδωρος ὁ Στουδίτης γέρων φαλακρός, διχαλογένης, λέγων· "Ἀδελφοὶ καὶ πατέρες, οἱ τῶν ἀμετρήτων εὐεργεσιῶν τοῦ Θεοῦ ἀπολαβόντες δεῖ ἀεὶ εὐχαριστεῖν".

Μάξιμος ὁ Ὁμολογητὴς μιξοπόλιος, πολυγένης, λέγων· "Ἀδελφέ, ἀεὶ βίαζε τὴν σάρκα καὶ σχόλαζε ἀόκνως ψαλμῳδίαις".

Ἱλαρίων, γέρων βουρλογένης, χωρίζων εἰς τρία, λέγων· "Εἰ προσέρχῃ δουλεύειν τῷ Κυρίῳ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν".

Παχώμιος, γέρων ἔχων σκουλία πέντε τὰ γένεια, λέγων· "Ἄγρυπνον οἶδεν ὄμμα τὸν νοῦν ἁγνίζειν, | θραύειν πυρώσεις, φάσματα φυγαδεύειν, | ἐνυπνιασμοὺς μυσαροὺς καταπαύειν".

Θεόδωρος ὁ Συκεώτης γέρων κοντογένης, λέγων· "Ἀδελφοί, ἀγωνίσασθε ὑπὲρ τῆς σωτηρίας ὑμῶν πρὸ τοῦ ἐλθεῖν τὴν ὥραν".

Μαρτινιανός, γέρων ὀξυγένης.

Θεόκτιστος, μαυροκοντογένης, λέγων· "Κρατῶν γαστρὸς κράτησον ἰσχύι πάσῃ· | εἰ γὰρ κορεσθῇ βρωμάτων ἡ μαιμῶσα, | οἰστρηλατεῖσαι καὶ πλέον τῆς μαινάδος".

Ἰσαάκιος, νέος ὀλιγογένης.

Ἰσίδωρος ὁ Πηλουσιώτης γέρων ὀξυγένης· "Εἴ τις τὸν κόσμον ἐμίσησεν, οὗτος λύπην διέφυγε".

Παῦλος ὁ Θηβαῖος γέρων μεγαλογένης, μακρότριχος, λέγων· "Οὐκ ὀφείλει ἐπιζητεῖν τὰ ἑαυτοῦ, ἀλλὰ τὰ τοῦ πλησίον".

Παῦλος ὁ Ἁπλοῦς γέρων ὀλιγογένης, πλατυαναφάνδαλος.

Ποιμήν, γέρων μεγαλογένης, εἰς τρία χωρισμένα, λέγων· "Ἀδελφέ, δίδαξον τὴν καρδίαν σου ποιεῖν ἃ διδάσκει ἡ ψυχή σου· ἡ γὰρ ἀνυποταγὴ καὶ τὸ ἴδιον θέλημα καταβάλλει τὸν μοναχόν".

Νικήτας ὁ Μηδικίου νέος κοντογένης.

Συμεὼν ὁ Στυλίτης γέρων κοντογένης, μαυρότριχος.

Μελέτιος ὁ ἐν τῷ ὄρει Μυουπόλεως, πλησίον Θήβας, γέρων σγουροκέφαλος, ἔχων γενειάδα ὁμοίαν Γρηγορίου τοῦ Θεολόγου.

Ἀκάκιος, γέρων φαλακρός, κοντογένης, λέγων· "Οὐ κοπιάσεις πολλοῖς ἔτεσιν, ἐὰν ἐν ἀρχαῖς σεαυτὸν πόνοις ἐκδώσῃς".

Συμεὼν ὁ διὰ Χριστὸν σαλὸς γέρων ὀξυγένης.

Σαμψὼν ὁ Ξενοδόχος ὀξυγένης οὐ πολλά.

Κῦρος Ἀνάργυρος γέρων φαλακρός, μεγαλογένης, εἰς δύο χωρισμένα.

Οἱ ἅγιοι Ἀνάργυροι Κοσμᾶς καὶ Δαμιανὸς νέοι ἀρχιγένειοι, τὰς τρίχας ἄνωθεν τῶν ὤτων φαλακρίζοντες, ὀλιγότριχοι, σγουρακίζοντες.

Παντελεήμων νέος ἀγένειος, σγουροκέφαλος, ὅμοιος τῷ ἁγίῳ Γεωργίῳ.

Ἑρμόλαος, γέρων κοντογένης βαστάζων Εὐαγγέλιον.

Ἰωάννης ὁ διὰ Χριστὸν σαλὸς γέρων κοντογένης.

Ἀλύπιος ὁ Στυλίτης γέρων στρογγυλογένης.

Ἰωάννης ὁ Ψυχαΐτης γέρων κοντογένης.

Κλήμης, νέος ὀξυγένης.

Συμεὼν ὁ ἐν τῷ Θαυμαστῷ ὄρει, ὁ στυλίτης, γέρων στρογγυλογένης.

Λαμπαδός, νέος κοντογένης, διχαλογένης.

Βάρβαρος ὁ Αἰθίοψ γέρων σγουροκέφαλος καὶ σγουρογένης, λέγων· "Εὐχαριστῶ σοι

Κύριε Ἰησοῦ Χριστέ, καὶ σοί, πάτερ Ἰωάννη, ὅτι ἠξιώθην τῆς βασιλείας τοῦ Θεοῦ διὰ σέ".

Θεοφάνης ὁ ποιητής, νέος φαγογένης, λέγων· "Ὥριμον δρεπόμενος καρπόν, μὴ βλαπτόμενος τῷ ξύλῳ τῆς βρώσεως".

Κοσμᾶς ὁ ποιητὴς γέρων ὀξυγένης, λέγων· "Γυναῖκά σε θνητήν, ἀλλ' ὑπερφυῶς καὶ μητέρα Θεοῦ εἰδότες, πανάμωμε". — Ἰωάννης ὁ Δαμασκηνὸς γέρων διχαλογένης, φοροῦντες καὶ οἱ δύο κουκούλλια.

Ἰωσὴφ ὁ ποιητὴς γέρων στρογγυλογένης, λέγων· "Πυρποληθέντα ἐν καμίνῳ τοῦ πυρὸς ἡδοναῖς καὶ ψυχῆς τὸ ὀπτικὸν ἀμαυρωθέντα, τῷ πυρὶ τοῦ σοῦ φόβου ἀνακαινίσας, Χριστέ, φωτί με σωτηρίας αὔγασον, ἵνα σε δοξάζω εἰς πάντα". . . .

Θεοφάνης ὁ Γραπτὸς λέγων· "Ἴδε, Κύριε, τῇ σῇ Ἐκκλησίᾳ κραταίωμα ἀκλόνητον διαμένοι εἰς αἰῶνας αἰώνων τῷ σάλῳ τῆς αἱρέσεως".

Ἰωάννης ὁ Παλαιολαυρίτης γέρων κοντογένης.

Στέφανος ὁ Σαβαΐτης νέος ὀξυγένης.

Σισώης, γέρων κοντογένης.

Δαβὶδ Θεσσαλονίκης, γέρων, μακρογένης ἕως τὴν ζώνην.

Μωϋσῆς ὁ Αἰθίοψ γέρων φαγοστρογγυλογένης, λέγων· "Ὀφείλει ἄνθρωπος κρῖναι ἑαυτὸν ἀπὸ παντὸς πράγματος".

Στέφανος ὁ Σιναΐτης νέος ὀξυγένης.

Λουκᾶς ὁ Στειρίου νέος ὀξυγένης.

Ἰουλιανὸς ὁ Θηβαῖος γέρων κοντογένης.

Πατάπιος, γέρων ὀξυγένης.

Μᾶρκος, γέρων σπανός, ἔχων ὀλίγας τρίχας εἰς τὸν πώγωνα, λέγων· "Μοναχέ, φεῦγε, σιώπα, ἡσύχαζε καὶ σῴζου".

Δανιὴλ ὁ τῆς Σκήτεως λέγει· "Ἡ γαστριμαργία μήτηρ ἐστὶ τῆς πορνείας καὶ ὁ κρατῶν γαστρὸς κρατεῖν δύναται καὶ γλώσσης".

Δανιὴλ ὁ Στυλίτης γέρων ὀξυγένης.

Κασιανός, γέρων ὀξυγένης.

Ἀντίοχος, γέρων στρογγυλογένης, φορῶν ἐπιρριπτάριον, λέγων· "Ὕπνος περιττὸς συμμιγὴς ἀκρασίᾳ | τὴν δακρυώδη χαρμολύπην ὀξέως | καπνὸς μελίσας ὡς πυρὶ σκεδαννύει".

Ἰωάννης ὁ Κολοβός, γέρων μακρυγένης ἔχων σκουλία πέντε.

Νεῖλος, γέρων μακρογένης ἔχων σκουλία τρία, λέγων· "Μὴ θέλε ὡς σὺ δοκεῖς, ἀλλ' ὡς Θεῷ ἀρέσκει γενέσθαι τὰ κατὰ σέ".

Στέφανος ὁ Νέος ὀξυγένης, ὅμοιος Λουκᾷ τῷ Στειρίου, λέγων· "Εἴ τις οὐ προσκυνεῖ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν εἰκόνι περιγραπτὸν κατὰ τὸ ἀνθρώπινον, εἴη ἀνάθεμα".

Κάστωρ ὅμοιος τῷ ἁγίῳ Στεφάνῳ.

Ἀθανάσιος, γέρων κοντογένης λέγων· "Οὐδὲν ἄλλο βλάπτει τοὺς μοναχοὺς καὶ χαροποιεῖ τοὺς δαίμονας, ὡς τὸ κρύπτειν τοὺς ἰδίους λογισμούς".

Γεράσιμος, γέρων δασυγένης λέγων· "Ἀρκεῖ τῷ μοναχῷ, ἵνα κοιμᾶται μίαν ὥραν ἐὰν ἔνι ἀγωνιστής".

Ἀλέξιος ὁ ἄνθρωπος τοῦ Θεοῦ ὅμοιος τῷ Προδρόμῳ, ὀξυγένης.

Μακάριος ὁ Αἰγύπτιος γέρων.

Μακάριος ὁ Ἀλεξανδρεὺς γέρων, ἐπὶ τοῦ χείλους ἔχων τρίχας καὶ εἰς τὸ ἄκρον τοῦ πώγωνος.

Ἰωάννης ὁ τῆς Κλίμακος γέρων μεγαλογένης, λέγων· "Ὁ πίστιν μὲν ὀρθὴν κεκτῆσθαι λέγων, ἁμαρτίας δὲ διαπραττόμενος, ὅμοιός ἐστι προσώπῳ ὀφθαλμοὺς μὴ ἔχοντι".

Εφραὶμ ὁ Σύρος γέρων σπανός, ὀλίγα ἔχων (γένεια), φορῶν κουκούλλιον, λέγων·

Μακάριος ὄντως ὁ ἔχων ὑποταγὴν ἀγαθήν· μιμητὴς γάρ ἐστι τοῦ παναγάθου ἡμῶν δεσπότου".

Χαρίτων γέρων.

Ἰωαννίκιος γέρων.

Ἡσαΐας γέρων λέγων· "Ὁ ἀπολέσας χρυσίον ἴσως εὑρήσει πάλιν αὐτό· καιρὸν δὲ ὁ ἀπολωλεκὼς ἀμήχανον εὑρεῖν".

Εὐλόγιος γέρων λέγων· "Μοναχὸς μὴ ὑποφέρων ὕβριν καὶ ἐξουδένωσιν οὐκ ἔστι μοναχός".

Ἰωάννης ὁ Μονάζων λέγων· "Ἐὰν ἀγαπήσῃς τὴν εὐλάβειαν καὶ τὴν ἐγκράτειαν, ὀρθῷ λογισμῷ ὑψωθήσῃ ἐκ πάντων τῶν μερῶν".

Ἀρσίσιος γέρων λέγων· "Ἡ ταπεινοφροσύνη στέφανός ἐστι τῷ μοναχῷ".

Πετρώνιος γέρων λέγων· "Πενία καὶ θλῖψις καὶ ἀτιμία, αὗταί εἰσιν οἱ στέφανοι τοῦ μοναχοῦ".

Σιλβανὸς γέρων λέγων· "Εἰ θέλεις σωθῆναι, μίσησον την κοιλίαν σου καὶ τὰς ὕλας τοῦ κόσμου καὶ τὰς τῶν ἀνθρώπων τιμὰς καὶ σώζῃ".

Θεόδωρος γέρων λέγων· "Ὥσπερ ἴδιον παρακοῆς ἐστιν ἡ ἁμαρτία, οὕτως ἴδιον ὑπακοῆς ἐστιν ἡ ἀρετή".

Βασίλειος λέγει· "Ὁ θέλων εἶναι μοναχὸς οὐκ ὀφείλει ὅλως θέλημα ἔχειν ἔν τινι πράγματι".

Δομετιανὸς γέρων λέγων· "Ἄπελθε, κολλήθητι ἀνθρώπῳ φοβουμένῳ τὸν Θεόν, καὶ ἐν τῷ ἐγγίζειν αὐτῷ μανθάνεις ἐξ αὐτοῦ φοβεῖσθαι τὸν Θεόν".

Ἀθανάσιος Ἀθωνίτης γέρων λέγων· "Ἐν καρδίαις πραέων ἀναπαύεται Κύριος, ψυχὴ δὲ ταραχώδης διαβόλου καθέδρα".

Περὶ μαρτύρων ὀνομάτων καὶ σχημάτων.

Ὁ ἅγιος Γεώργιος νέος ἀγένειος, σγουροκέφαλος.

Δημήτριος μουστακίζων ὀλίγον.

Νέστωρ, νέος ἀγένειος.

Μερκούριος, νέος στρογγυλογένης.

Προκόπιος, νέος ἀγένειος.

Νικήτας, χριστοειδής.

Ἀρτέμιος ὁμοίως.

Θεόδωρος ὁ Τίρων μαυρογένης, μαδαροπώγωνος, τὰς τρίχας ⟨ἔχων⟩ ἄνωθεν τῶν ὤτων.

Θεόδωρος ὁ στρατηλάτης σγουροκέφαλος, διχαλογένης.

Εὐστράτιος, γέρων διχαλογένης.

Εὐγένιος, νέος ἀγένειος.

Αὐξέντιος, γέρων ὀξυγένης.

Ὀρέστης, νέος ἀγένειος.

Μαρδάριος, μαυροστρογγυλογένης.

Ἀκίνδυνος, νέος, ὀξυγένης ὀλίγον.

Πηγάσιος, γέρων στρογγυλογένης.

Ἐλπιδηφόρος, νέος ἀγένειος.

Ἀφθόνιος, νέος στρογγυλογένης.

Ἀνεμπόδιστος, νέος ἀγένειος.

Καλλίστρατος, ὅμοιος τῷ Εὐστρατίῳ.

Γυμνάσιος, νέος στρογγυλογένης.

Γερβάσιος, νέος πλατυγένης.

Κέλσιος, νέος ἀγένειος.
Μηνᾶς ὁ Αἰγύπτιος γέρων στρογγυλογένης.
Βίκτωρ, νέος στρογγυλογένης.
Βικέντιος, νέος ἀγένειος.
Γουρίας, γέρων κοντογένης.
Σαμωνᾶς, νέος κοντογένης.
Ἄβιβος διάκονος, ὀλίγον στρογγυλογένης.
Πρέβος, γέρων στρογγυλογένης.
Τάραχος, νέος ὀλιγογένης.
Ἀνδρόνικος, νέος ἀρχιγένης.
Σέργιος, ἀγένειος.
Βάκχος ομοίως.
Μαρκιανός, νέος βαστάζων καλαμάριον.
Μαρτύριος ὁμοίως.
Ἀλφειός, νέος στρογγυλογένης.
Φιλάδελφος, νέος ἀγένειος.
Κυρῖνος, νέος ὀλιγογένης.
Πάπυλος, νέος ἀρχιγένης.
Λέων ὁ ἀπὸ Κορυδαλᾶ μουστακίζων, ὅμοιος τῷ ἁγίῳ Προκοπίῳ.
Ἑρμύλος, γέρων στρογγυλογένης.
Στρατόνικος, νέος ἀγένειος.
Φλῶρος ὁμοίως.
Λαῦρος ὁμοίως.
Χριστοφόρος, νέος μαυρότριχος.
Φαντῖνος, νέος.
Βονιφάτιος, νέος ἀρχιγένης.
Νεόφυτος, νέος ὀλιγογένης.
Φώτιος, νέος ἀρχιγένης.
Αἰμιλιανός, νέος.
Λουκιανός, νέος ἀγένειος.
Μαρῖνος, ἀρχιγένης.
Ἀρέθας, γέρων.
Ἀγαθόνικος, νέος ὀλιγογένης.
Ἀναστάσιος ὁ ἐν Θεσσαλονίκῃ νέος.
Ἀκάκιός, ὅμοιος Μερκουρίῳ.
Εὐλάμπιος, νέος στρογγυλογένης.
Μώκιος, νέος ὀλιγογένης.
Μηνᾶς ὁ Καλλικέλαδος ὅμοιος τῷ Ἀκινδύνῳ.
Οὔαρος, γέρων κοντογένης.
Ζηνόβιος, νέος ὀλιγογένης.
Μαῦρος, νέος στρογγυλογένης.
Πορφύριος, νέος.
Εὔγραφος, νέος.
Πλάτων, νέος στρογγυλογένης.
Πολύευκτος, νέος κοντογένης.
Εὐστάθιος, νέος στρογγυλογένης.
Θεόπιστος, νέος ἀγένειος.
Ἀγάπιος ὁμοίως· καὶ ἡ τούτων μήτηρ Θεοπίστη.
Ὀνησιφόρος, νέος ὀλιγογενης.

Πάμφιλος, νέος.
Σισίννιος, γέρων κοντογένης.
Εἰρήναρχος, νέος ἀγένειος.

Οἱ ἑπτὰ Μακκαβαῖοι.

Νέοι ἀγένειοι. Ὁ πρῶτος Ἀβελβοῦς μουστακίζων· Οὐρίας, Ἀντώνιος, Ἐλεάζαρ, Εὐσεβωνᾶς, Μάρκελλος, Σαμωνᾶς. Ἡ τούτων μήτηρ Σολομωνὴ καὶ ὁ τούτων διδάσκαλος Ἐλεάζαρ.

Οἱ ἑπτὰ παῖδες οἱ ἐν Ἐφέσῳ κοιμώμενοι ἐν τῷ σπηλαίῳ.

Νέοι ἀγένειοι· Μαξιμιανός, Ἀντώνιος, Ἐξακουστωδιανός [1], Δαδιανός, Μαρτῖνος, Ἰωάννης, Ἰάμβλιχος, Εὔβουλος (νέος), Ἀδριανός (νέος ὀξυγένης), Κόνων (νέος στρογγυλογένης), Τρύφων (ἀγένειος).

Οἱ ἐν τῇ Σεβαστείᾳ λίμνῃ τεσσαράκοντα μάρτυρες.

Κλαύδιος, γέρων κοντογένης, σγουρομάλλης.
Σμάραγδος, νέος μουστακίζων.
Κνίδων, γέρων ὀξυγένης.
Ξάνθος, μουστακίζων.
Ῥούδων, ῥαντοπόλιος, ὀξυγένης.
Εὐζωϊκός, νέος στρογγυλογένης.
Δομετιανός, ἀγένειος.
Δόμνος, γέρων ὀξυγένης.
Αἰλιανός, γέρων ὀξυγένης, χωριστὰ (ἔχων τὰ γένεια).
Λεόντιος, ὀξυγένης.
Σισίννιος, νέος ἀγένειος.
Σουμάρανδος, γέρων ὀξυγένης, ἀναφάλανδος.
Ἡσύχιος, νέος μουστακίζων.
Ἐφαθήσυχος, νέος μουστακίζων.
Κρίσκος, φαγογένης, γέρων.
Θεόδουλος, ῥαντοπόλιος, ὀξυγένης.
Ἀλέξανδρος, νέος ὀξυγένης, σγουροκέφαλος.
Ἰωάννης, ὀξυγένης [2].
Λυσίμαχος, γέρων ὀξυγένης, χωρίζων εἰς δύο (τὰ γένεια).
Μελίτων, νέος ἀγένειος.
Ὀξύκλινος, νέος ἀγένειος.
Ἀκάκιος, νέος ὀξυγένης, διχαλογένης.
Κλαυδιανός, νέος σγουροκέφαλος.
Κλαύδιος, νέος ὀξυπόλιος, κοντογένης.
Οὐάριτος, νέος ἀγένειος, μέσον αὐτῶν τελευτῶν.
Γόρδιος, ὀξυγένης [3].
Μελέτιος, νέος φαλακρός, ὀξυγένης, εἰς δύο χωρίζων (τὰ γένεια).
Ἀλεριανός, νέος σπανός, ἀναφάλανδος.
Φιλοκτήμων, νέος στρογγυλογένης.
Ἡράκλειος. Ἀγλάϊος, νέος στρογγυλογένης.

Σακέρδων, Κυρίων, Βιβιανός, Ἀέτιος, Χουδίων ὁ καὶ Καπικλάριος καὶ ἕτερος λιποτακτήσας· οὗτος τὸν τῆς βασιλείας στέφανον οὐκ ἐκληρονόμησε.

---

1) Ἐν τῷ κώδικι " Ἐξάκουστος ".
2) Ἐν τῷ κώδικι μετὰ τὸ ὀξυγένης· " Ἀκροστοστομίκλος, νέος ἀγένειος ".
3) Ἐν τῷ κώδικι " Γάρδιος ".

Περὶ τῶν ἑβδομήκοντα ἀποστόλων.

Ἰάκωβος ὁ Ἀδελφόθεος, υἱὸς Ἰωσὴφ τοῦ Δικαίου, ὃς ἐγένετο ὁ πρῶτος ἐπίσκοπος Ἱεροσολύμων ὑπὸ τοῦ Χριστοῦ.

Βαρνάβας, ὃς μετὰ Παῦλον ἐν Ῥώμῃ κηρύξας γέγονεν ἐπίσκοπος Μεδιολάνων, μιξοπόλιος.

Κλεόπας, ἀνεψιὸς τοῦ Κυρίου, γαμβρὸς Ἰωσὴφ τοῦ Δικαίου, οὗτινος εἰς τὸν γάμον τὸ ὕδωρ οἶνον ἐποίησεν ὁ μετὰ τὴν ἀνάστασιν Λουκᾷ συμπορευόμενος εἰς Ἐμμαούς· ὃς ἐγένετο ἐπίσκοπος Ἱεροσολύμων· γέρων.

Ματθίας ὁ ἀναπληρώσας τὸν ἀριθμὸν τῶν ιβ′ ἀποστόλων γέρων κοντογένης.

Θαδδαῖος ὁ καὶ τὴν ἐπιστολὴν κομίσας Αὐγάρῳ ἐν Ἐδέσσῃ· σουδαραῖος, νέος ἀγένειος.

Ἀνανίας ὁ βαπτίσας τὸν Παῦλον, ὃς καὶ ἐγένετο ἐπίσκοπος Δαμασκοῦ, γέρων ὀξυγένης.

Φίλιππος ὁ εἷς τῶν ἑπτὰ διακόνων, ὁ Σίμωνα καὶ τὸν εὐνοῦχον βαπτίσας καὶ ἐν Τράλλῃ τῆς Ἀσίας γεγονὼς ἐπίσκοπος· νέος μαυροκοντογένης.

Πρόχορος, καὶ αὐτὸς εἷς τῶν ἑπτά, ἐπίσκοπος Νικομηδείας τῆς Βιθυνίας γεγονώς· μιξοπόλιος, διχαλοκοντογένης.

Νικάνωρ, καὶ οὗτος εἷς τῶν ἑπτά, ὃς κατ' αὐτὴν τὴν ἡμέραν ἀπέθανε, καθ' ἣν καὶ ὁ ἅγιος Στέφανος σὺν δισχιλίοις ἄλλοις πιστοῖς· καὶ ἦν ὁ ἅγιος Στέφανος νέος.

Σίμων ὁ καὶ ἐπίσκοπος Βόστρων πυρὶ τελειωθείς· νέος ἀγένειος.

Παρμενᾶς, εἷς καὶ αὐτὸς τῶν ἑπτά.

Τῖτος ἐπίσκοπος Κρήτης, νέος ἀγένειος.

Σιλουανὸς ὁ σὺν Παύλῳ τὸν λόγον διακονῶν, Θεσσαλονίκης ἐπίσκοπος, ἔχων φαλάκραν, κοντογένης.

Κρήσκης, οὗ μέμνηται ὁ ἀπόστολος ἐν τῇ πρὸς Τιμόθεον ἐπιστολῇ, ἐπίσκοπος Χαλκηδόνος· γέρων στρογγυλογένης.

Ἐπαινετὸς ἐπίσκοπος Καρθαγένης· νέος χωρίζων εἰς τρία.

Ἀνδρόνικος ἐπίσκοπος Παννονίας· σπανὸς νέος κοντογένης.

Ἀμπλίας ἐπίσκοπος Ὀδησσοῦ, γέρων.

Οὐρβανὸς ἐπίσκοπος Μακεδονίας, νέος.

Στάχυς, ὃν ὁ ἀπόστολος Ἀνδρέας διαπλέων τὴν Ποντικὴν θάλασσαν ἐν Ἀργυροπόλει τῆς Θρᾴκης ἐπίσκοπον τοῦ Βυζαντίου κατέστησε· νέος ὅμοιος τῷ ἁγίῳ Βασιλείῳ.

Συμεὼν ὁ τοῦ Ἰωσὴφ υἱός, γέρων, ἐπίσκοπος Ἱεροσολύμων.

Λουκιανὸς ἐπίσκοπος Λαοδικείας τῆς Συρίας, νέος.

Ἀπελλῆς, γέρων κοντογένης, ἐπίσκοπος ἐγένετο Σμύρνης πρὸ τοῦ ἁγίου Πολυκάρπου.

Ἀριστόβουλος γέρων, ἐπίσκοπος Βρεττανίας.

(Ἡ)ρωδίων, γέρων, ἐπίσκοπος Πατρῶν.

Ἄγαβος, προφητικῆς χάριτος ἀξιωθείς· γέρων.

Ῥουφῖνος, ἐπίσκοπος Θηβῶν· μιξοπόλιος, κοντογένης.

Ἀσύγκριτος ἐπίσκοπος Ὑρκανίας, γέρων στρογγυλογένης.

Φλέγων ἐπίσκοπος Μαραθῶνος, νέος.

Ερμῆς ἐπίσκοπος Δαλματίας, γέρων.

Πατρόβας ἐπίσκοπος Ποτιόλων.

Ζήνων μετὰ Πέτρον ἐγένετο ἐν Σινώπῃ· γέρων.

Γάϊος μετὰ Τιμόθεον ἐγένετο.

Ὀλυμπᾶς, γέρων.

Ῥοδίων, νέος· οὗτοι οἱ δύο ἅμα Πέτρῳ τῷ ἀποστόλῳ ἐν Ῥώμῃ τὰς κεφαλὰς ἀπετμήθησαν.

Σωσίπατρος ἐπίσκοπος Ἰκονίου, νέος στρογγυλογένης.

Τέρτιος ὁ καὶ τὴν πρὸς Ῥωμαίους γράψας ἐπιστολὴν καὶ δεύτερος ἐπίσκοπος Ἰκονίου· ἀγένειος.

Ἔραστος οἰκονόμος Ἱεροσολύμων, ἔπειτα ἐπίσκοπος Πανεάδος.

Κούαρτος ἐπίσκοπος Βηρυτοῦ, γέρων.

Κηφᾶς, ὃν ὁ ἀπόστολος Παῦλος ἐν Ἀντιοχείᾳ ἤλεγξεν, ἐπίσκοπος Κολωνείας, γέρων.

Σωσθένης, ἐπίσκοπος Κολοφῶνος, νέος στρογγυλογένης.

Ἐπαφρόδιτος, ἐπίσκοπος Ἀνδριάκης, νέος.

Καῖσαρ, ἐπίσκοπος Δυῤῥαχίου, νέος.

Ἰάσων, νέος ἀρχιγένης.

Σωσίπατρος, γέρων ὀξυγένης.

Μᾶρκος ὁ ἀνεψιὸς Βαρνάβα, ἐπίσκοπος Ἀπολλωνιάδος, νέος.

Ἰησοῦς ὁ λεγόμενος Ἰοῦστος, ἐπίσκοπος Ἐλευθερουπόλεως, γέρων.

Ἀρτεμᾶς, ἐπίσκοπος Λύστρας.

⟨Κ⟩λήμης, οὗ καὶ αὐτοῦ μέμνηται ὁ ἀπόστολος λέγων· "μετὰ Κλήμεντος καὶ τῶν λοιπῶν συνεργῶν μου", ὃς καὶ πρῶτος ἐξ ἐθνῶν καὶ ἑλλήνων ἐπίστευσεν εἰς Χριστόν· ἐπίσκοπος Σαρδικῆς, γέρων.

Ὀνησιφόρος ἐπίσκοπος Κορώνης, γέρων.

Τυχικός, πρῶτος ἐπίσκοπος Χαλκηδόνος τῆς ἐν Βιθυνίᾳ, νέος.

Κάρπος, ἐπίσκοπος Βερροίας τῆς Θράκης, γέρων.

Εὔοδος, ὃς μετὰ Πέτρον τὸν ἀπόστολον ἐπίσκοπος γέγονεν Ἀντιοχείας, νεος.

Ἀρίσταρχος ἐπίσκοπος γέγονεν Ἀπαμείας τῆς Συρίας.

Ἀχαϊκός, ἐπίσκοπος, νέος.

Μᾶρκος ὁ καὶ Ἰωάννης καλούμενος ἐν ταῖς Πράξεσιν, ἐπίσκοπος Βύβλου, μιξοπόλιος.

Ζηνᾶς ὁ νομικός, ἐπίσκοπος Διοσπόλεως, μιξοπόλιος.

Ἄρχιππος ἐπίσκοπος ἐν Κολοσσαῖς, γέρων.

Φιλήμων ἐπίσκοπος Γάζης
Ἀρίσταρχος ἕτερος, νέος
Τρόφιμος, νέος

} Οὗτοι οἱ τρεῖς ἐν πᾶσι τοῖς διωγμοῖς τοῦ ἀποστόλου συγκακοπαθήσαντες τέλος ἐν Ῥώμῃ σὺν αὐτῷ τῷ ἀποστόλῳ ὑπὸ Νέρωνος τὰς κεφαλὰς ἀπετμήθησαν.

Ἱερόθεος ἐπίσκοπος, μιξοπόλιος.

Τιμόθεος ἐπίσκοπος Ἐφέσου, νέος σιμογένης.

Ἰάκωβος ὁ Ἀλφαίου λίθοις ἀνηρέθη παρὰ Ἰουδαίοις ἐν Ἀφρικῇ, νέος.

Φουρτουνᾶτος ἐπίσκοπος, γέρων.

Ἰούδας ὁ ἀδελφὸς Ἰακώβου τοῦ Ἀλφαίου, ἀρχιεπίσκοπος γέρων.

Ὀνήσιμος, ἐπίσκοπος μιξοπόλιος.

Περὶ τούτων ἁπάντων ὁ ἀπόστολος Παῦλος μνημονεύσας ἔλεγεν· "οἳ καὶ πρὸ ἡμῶν γεγόνασιν ἐν Χριστῷ· ἀμήν".

Τὰ τέλη τῶν δώδεκα ἀποστόλων.

Πέτρος σταυρούμενος κατακέφαλα.

Παῦλος ἀποκεφαλιζόμενος.

Ἰωάννης ὁ Θεολόγος ἐν Ἐφέσῳ καλυπτόμενος ὑπὸ τῶν μαθητῶν αὐτοῦ.

Μᾶρκος Ἀλεξανδρείας συρόμενος ἐκ τῶν ποδῶν μετὰ σχοινίου.

Ἀνδρέας ἐν Ἀχαΐᾳ σταυρούμενος ἐν ἐλαίῳ.

Σίμων ἐν Λυδίᾳ σταυρῷ σταυρούμενος.

Θωμᾶς ἐν Ἰνδίᾳ λογχευόμενος.

Λουκᾶς ἐν Θήβαις τῆς Βοιωτίας ἐν εἰρήνῃ τελειούμενος.
Ἰάκωβος ἀναιρούμενος μαχαίρᾳ.
Βαρθολομαῖος ἐν Μεσοποταμίᾳ σταυρούμενος.
Φίλιππος ἐν Ἱεραπόλει κρεμάμενος ὀπισθάγκων εἰς δένδρον κατακέφαλα.

Τίνες ἦσαν οἱ ἁλιεῖς.

Ἁλιεῖς ὑπῆρχον Πέτρος καὶ Ἀνδρέας, υἱοὶ τοῦ Ἰωνᾶ. Ἰάκωβος καὶ Ἰωάννης, υἱοὶ Ζεβεδαίου; Ἰάκωβος καὶ Ἰούδας καὶ υἱοί Ἀλφαίου.

Πόσαι ἦσαν μυροφόροι.

Μαρία ἡ ἀλείψασα τὸν Κύριον μύρῳ πρὸ τοῦ πάθους ἐν οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ, ἀδελφὴ οὖσα Λαζάρου· αἱ μετὰ τὴν ἀνάστασιν ἐν τῷ τάφῳ ἀπελθοῦσαι καὶ τὴν Ἀνάστασιν εὐαγγελισάμεναι, Μαρία ἡ Μαγδαληνή, Μαρία ἄλλη Ἰακώβου τοῦ μικροῦ, Φωτεινὴ Ἰωσῆ μήτηρ, Σαλώμη μήτηρ Ἰωάννου τοῦ Θεολόγου, γυνὴ Ζεβεδαίου, Σωσάννα ἡ γυνὴ τοῦ Χουζᾶ, Μαρία ἡ τοῦ Κλωπᾶ.

Αἱ ἀθλοφόροι.

Ἡ ἁγία Εἰρήνη. — Αἰκατερῖνα. — Βαρβάρα. — Μαρῖνα. — Παρασκευή. — Κυριακή. — Θεοφανώ.

Αἱ ὅσιαι γυναῖκες.

Ἀναστασία ἡ Φαρμακολύτρια φοροῦσα κουκούλλιον. — Ἀναστασία ἡ Ῥωμαία μεγαλόσχημος. — Θεοφανώ. — Μακρῖνα. — Φεβρωνία. — Θωμαΐς. — Ἱερεία. — Πλατωνίς. — Μελάνη. — Θεοδώρα. — Ἄλλη Θεοδώρα. — Μαρία ἡ Αἰγυπτία ἡ Μαρῖνος κληθεῖσα. — Εὐφροσύνη. — Θεοδούλη. — Θεοδότη. — Ἰουλίττα. — Ἰσιδώρα. — Ματρώνα. — Συγκλητική. — Σάρρα. — Ἰοῦστα. — Πελαγία. — Ταϊσία.

Ὀνόματα ἁγίων γυναικῶν.

Μηνοδώρα. — Μητροδώρα. — Νυμφοδώρα. — Λαυρεντία. — Φωτεινή. — Σοφία. — Ἰουστῖνα διάκονος. — Θεοκτίστη. — Δωροθέα. — Θέκλα. — Εὐτυχίνη. — Φιλαδελφία. — Μαρία. — Μαρῖνα. — Βερονίκη. — Εὐλαμπία. — Θεοδώρα. — Θεοδότη. — Θεοφίλω. — Λαμπαδίνη. — Προκοπία. — Ἰουλία. — Γρηγορία. — Βαρβάρα. — Τιμοθέα. — Τατιανή. — Ἀνθοῦσα. — Παῦλα. — Ἰαμβλίχου. — Κελσία.

Τοῦ ἁγίου Γεωργίου πάντα τὰ μαρτύρια.

α΄. Ὁ ἅγιος Γεώργιος ὁμολογῶν τὸν Χριστὸν Θεὸν ἀληθινόν.
β΄. Ὁ ἅγιος Γεώργιος τοῖς κοντοῖς βαλλόμενος ἤγουν μὲ τὰ κοντάρια καὶ τῇ εἱρκτῇ ἐγκλειόμενος.
γ΄. Ὁ ἅγιος Γεώργιος βάρει μεγίστου λίθου πιεζόμενος.
δ΄. Ὁ ἅγιος Γεώργιος περιστρεφόμενος ἐν τῷ τροχῷ.
ε΄. Ὁ ἅγιος Γεώργιος βληθεὶς ἐν τῇ ἀσβέστῳ.
ϛ΄. Ὁ ἅγιος Γεώργιος ὑποδυόμενος τὰς πεπυρακτωμένας σιδηρᾶς κρηπῖδας.
ζ΄. Ὁ ἅγιος Γεώργιος θανατηφόρα φάρμακα ποτιζόμενος καὶ ἀβλαβὴς Θεοῦ χάριτι διαφυλαττόμενος.
η΄. Ὁ ἅγιος Γεώργιος διὰ προσευχῆς ἀνιστῶν τὸν νεκρόν.

θ'. Ὁ ἅγιος Γεώργιος ἀνιστῶν τὸν βοῦν τοῦ Γλυκερίου τοῦ γεωργοῦ καὶ μαρτύριον αὐτοῦ τοῦ Γλυκερίου.

ι'. Ὁ ἅγιος Γεώργιος διὰ προσευχῆς καταρρράξας τὰ τῶν δαιμόνων ξόανα.

ια'. Οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος ὀργισθέντες ἐπὶ τὸ γεγονός, τύπτοντες τὸν ἅγιον σύρουσι πρὸς τὸν βασιλέα.

ιβ'. Ἡ βασιλὶς Ἀλεξάνδρα προσπεσοῦσα τοῖς ποσὶ τοῦ ἁγίου ὡμολόγησε χριστιανὴν ἑαυτήν.

ιγ'. Ὁ βασιλεὺς πλέον τὸν θυμὸν ἀναζέσας ἀπόφασιν εὐθέως ἐξήνεγκε ξίφει τελειοῦσθαι τὸν ἅγιον σὺν τῇ Ἀλεξάνδρᾳ τῇ βασιλίσσῃ.

ιδ'. Ἡ ἁγία Ἀλεξάνδρα ἡ βασίλισσα λιποθυμήσασα καθ' ὁδὸν παρέδωκε τὸ πνεῦμα τῷ Κυρίῳ.

ιε'. Εὐχαριστία τοῦ ἁγίου πρὸς Θεὸν ὑπὲρ τελειώσεως τῆς βασιλίσσης.

ις'. Μαρτύριον τοῦ ἁγίου καὶ ἐνδόξου μεγαλομάρτυρος Γεωργίου.

Σέργιος ὁ μάρτυς λέγει πρὸς τὸν Χριστὸν μετὰ χάρτου:

ΣΤΙΧΟΙ.

Κρηπῖδα ἥλοις σιδηροῖς πυρακτοῦσιν
ἄνομοι, πόδας τοὺς ἐμούς, Θεοῦ Λόγε.

Βάκχος.

Κἀγὼ διὰ σὲ κατετόλμησα ξίφους·
ζητοῦμεν ἄμφω τῶνδε τὴν σωτηρίαν·
μὴ γοῦν παρίδῃς σῶν δέησιν μαρτύρων.

Πῶς γράφεται τὸ ἀντιμίσι.

Θυσιαστήριον θεῖον καὶ ἱερὸν ἁγιασθὲν παρὰ τῆς χάριτος τοῦ παναγίου καὶ ζωοποιοῦ καὶ τελεταρχικοῦ πνεύματος εἰς τὸ ἐπιτελεῖν ἐν αὐτῷ τὰ θεῖα ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ, ἱερουργηθὲν καὶ εὐλογηθὲν παρὰ τοῦ ταπεινοῦ ἐπισκόπου κυρίου ὁδ(εῖνα) τῆς ἁγιωτάτης ἐπισκοπῆς ὁδ(εῖνα) διὰ πρεσβειῶν τῆς Θεοτόκου καὶ πάντων τῶν ἁγίων. Ἀμήν. Ἐν ἔτει ὁδ(εῖνι) μηνὶ ὁδ(εῖνι) ἰν(δικτιῶν)ος ὁδ(εῖνος).

⟨Ἐπίγραμμα⟩
τοῦ ἀββᾶ Σισώη πρὸ τοῦ τάφου καὶ τῶν γυμνῶν ὀστέων.

Ὁρῶ σε, τάφε· δειλιῶ σου τὴν θέαν
καὶ καρδιοστάλακτον δάκρυον χέω·
χρέος τὸ κοινόφλητον εἰς νοῦν λαμβάνω.
Πῶς οὖν μέλλω διελθεῖν βαβαὶ πέρας τοιοῦτον;
Αἴ, σί, Θάνατε, τίς δύναται φυγεῖν σε;

Ἐγράφη ἐν ἔτει ͵αχοδ, μηνὶ Αὐγούστῳ. κη. Χεὶρ Δανιὴλ θύτου

ΠΙΝΑΞ ΟΝΟΜΑΤΩΝ ΚΑΙ ΕΙΚΟΝΩΝ.

ΠΙΝΑΞ ΛΕΞΕΩΝ ΚΑΤ' ΕΚΛΟΓΗΝ.

*

ΠΙΝΑΞ ΤΩΝ ΠΕΡΙΕΧΟΜΕΝΩΝ.

Σελ.




GETTY RESEARCH INSTITUTE
3 3125 01077 4673